226000292762
ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

8170/12
δωρεά: Α. [illegible]

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

# ΠΕΡΙ῀ ΕʼΛΛΕΙ῍ΨΕΏΣ

## ΤΩ῀Ν

## ΠΑΡΑΛΕΙΠΟΜΈΝΩΝ ΦΩΝΩ῀Ν.

## Παρὰ τοῖς ἀρίςοις τῶν Ποιητῶν, ϗ τῶν καταλογάδην συγγραψάντων Ἑλλήνων!

Νῦν Πρῶτον τύποις ἐκδοθεῖσα, πρὸς εὐμάρειαν τῶν πρωτοπείρων. διὰ δαπάνης

ΚΩΝΣΤΑΝΤΊΝΟΥ ΠΑΛΑΝΊΔΟΥ ΤΟΥ῀ ἘΞ ἼΩΑΝΝΊΝΩΝ.

αωγʹ. ΕΝΕΤΙΗΣΙΝ, 1803.

Παρὰ Πάνῳ Θεοδοσίου τῷ ἐξ Ἰωαννίνων.

CON LICENZA DE' SUPERIORI.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘ

# ΠΕΡΙ' ΤΩ'Ν ΚΑΘ' Ε'ΛΛΗΝΑΣ,

## ΕΝ ΤΟΙ̃Σ

### Ὀκτὼ τοῦ Λόγου μέρεσι συνυπακουομένων φωνῶν δι' ἔλλειψιν, κειμένων κατ' Ἀλφάβητον. καὶ τῶν, αἷς αὗται συνυπακούονται.

Ἀγαθός. Τὸ ἀγαθὸν ἐν Οὐδετέρῳ γένει συνυπακούεται ἐν τῷ ἀπολαύειν τινός. Τούτου γὰρ εἴη ἂν τὸ πλῆρες. ἀπολαύειν ἀγαθὸν ἀπό τινος. Τὸ γὰρ ἀπολαύειν διφορεῖται ἐπί τε κακοῦ καὶ ἐπὶ καλοῦ λαμβανόμενον.

„Ἀγαθὸν γὰρ ἀπέλαυσ' οὐδὲν αὐτοῦ πώποτε. Ἀριστοφάνης ἐν Πλούτῳ, Στίχῳ 236.

„Ὅς ἐποίησε τὴν πόλιν ἡμῶν μεστὴν, εὑρὼν ἐπιχειλῆ. ἐλλείπει τὸ ἀγαθῶν ἵνα ᾖ τὸ πλῆρες, μεστὴν ἀγαθῶν. ὁ αὐτὸς ἐν τῇ ἱππεῖς Στίχῳ 811. περὶ Θεμιστοκλέους διαλεγόμενος.

„Πῖν ἐπὶ συμφοραῖς συνυπακούεται τὸ ἀγαθαῖς ἐν τῇ αὐτῇ Κωμωδίᾳ Στίχῳ 404. τὸ τῆς συμφορᾶς γὰρ ὄνομα



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

διφορεῖται. Ὅθεν ὁ αὐτὸς συνάπτει τῇ συμφορᾷ τὸ ἀγαθῇ Στίχῳ 652.

Ἔτι συνυπακούεται ἐν τῷ πάσχειν, καὶ ἐν τῇ ὑπάρχοντα Μετοχῇ ἡνίκα οὐ συντέτακται ταύτῃ Ὄνομα οὐσιαστικὸν, ὡς ἂν εἴπῃς τὰ ὑπάρχοντα ἀγαθά. οὗ τὸ πλῆρες εὕρηται παρ' Ἰσοκράτει πρὸς Δημόνικον.

„ Ἀγάπα τῶν ὑπαρχόντων ἀγαθῶν μὴ τὴν ὑπερβάλλουσαν κτῆσιν.

Ἄγαλμα. Ἡ φωνὴ αὕτη ἄγαλμα ἐλλείπει ἐν τῷ Διοπετές. ὡς ἐκαλεῖτο τὸ ἐν τῇ Τρῳάδι Παλλάδιον, τὸ ἐν Ἐφέσῳ τῆς Ἀρτέμιδος εἴδωλον καὶ ἄλλα. οἱ γὰρ τῶν εἰδώλων θύται, ἡνίκα ἠγνοεῖτο ὁ τοῦ εἰδώλου τεχνουργὸς, τὴν τοῦ πλήθους αὔξοντες, δι' αἰσχροκέρδειαν, δεισιδαιμονίαν, πᾶν τὸ τοιοῦτον Διοπετὲς ἐκάλουν, ἤτοι ἐκ τοῦ Διὸς πετώμενον.

„ Ὅς οὐ γινώσκει τὴν Ἐφεσίων πόλιν νεωκόραν οὖσαν τῆς μεγάλης Θεᾶς Ἀρτέμιδος, καὶ τοῦ Διοπετοῦς. Πράξ. Ἀποστόλ. 19. 35.

Καὶ ὁ μὲν Ἱερὸς Λουκᾶς ἐλλειπτικῶς απεσίγησε τὸ ἀγάλματος. ὁ δὲ Ἡρωδιανὸς Βιβλίῳ ά. Κεφ. ιά. προσέθηκε.

„ Αὐτὸ μὲν τὸ, ἄγαλμα Διοπετὲς, ὡς λέγουσιν, οὔτε δὲ τὴν ὕλην, οὔτε τεχνιτῶν ὅστις ἐποίησεν ἐγνωσμένον.

Ἔτι ἡ φωνὴ αὕτη ἄγαλμα συνυπακούε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κούεται ταῖς φωναῖς ταύταις λίθινον, ἴκελον, ἀφροδίσιον, καὶ ἐν ταῖς ἐπιγραφαῖς τῶν ἀνδριάντων.

„ Φανοδίκου εἰμὶ τοῦ Ἑρμοκράτους τοῦ Προικοννησίου. τουτέστι ἄγαλμα.

**Ἀγγεῖον:** Ἐλλείπει εἰς τὸ κεράμειον. ὡς Σουΐδας κεράμειον ἀγγεῖον. καὶ κεραμία τέχνη, τὰ κεράμεια ἀγγεῖα.

Καὶ εἰς τὸ πυρεῖον. ὡς Ἡσύχιος. πυρεῖον. ἀγγεῖον κεράμειον εἰς πυρὸς ἔνθεσιν.

**Ἄγγελος.** Τὸ πέμπειν, καὶ ἀποστέλλειν πολλάκις ἀπολύτως τίθενται συνυπακουομένης Αἰτιατικῆς τινος Πτώσεως. οἷον, εἰπεῖν ἄγγελον ἢ ἀγγέλους.

„ Θουκιδίδης, Βιβλίῳ ε. Κεφ. 72. καὶ πρὸς Βρασίδαν πέμψαι. ἤγουν ἄγγελον.

„ Ξενοφῶν Κύρ. Παιδ. Κεφ. 28. ἔπεμπε καὶ πρὸς τὸ κοινόν.

„ Ματθαῖος Κεφ. β΄. 16. καὶ ἀποστείλας ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεέμ.

„ Λουκᾶς Πράξ. Ἀποστόλ. Κεφ. 19. 31. τινὲς τῶν ἀσιαρχῶν, ὄντες αὐτῷ φίλοι πέμψαντες πρὸς αὐτόν. Ἔνθα ἐλλείπει τὸ ἄνδρας, ἢ ἀγγέλους.

**Ἄγκυρα.** Τὸ ἄγκυραν, ἢ ἀγκύρας ἐνίοτε παραλείπεται.

„ Θουκιδίδης Βιβλίῳ α. 17. ἄραντες... ἔπλεον ἐπὶ τὴν Ἐπίδαμνον.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὁ αὐτὸς Γ. 91. ἄραντες ... ἐκ τῆς Μήλου αὐτοὶ μὲν ἔπλευσαν ἐς ὠρωπὸν τῆς πέραν γῆς.

„ Λουκιανὸς Ἀληθ. Ἱστορ. ά. τῇ ἐπιούσῃ ἄραντες ἐπλέομεν.

„ Πράξ. Ἀποσ. κζ΄. 13. ἄραντες Ἆσσον παρελέγοντο τὴν Κρήτην.

Ἐν οἷς ἐλλείπει τὸ ἄγκυραν ἢ ἀγκύρας. παρὰ δὲ τῷ Πολυβίῳ καὶ τῷ Πλουτάρχῳ ἐν τοῖς Ἀποφθέγμασι, πρόσκειται.

„ Πολύβ. ὁ δὲ Κυβερνήτης ἄρτι διαφώσκοντος ἄρας τὰς ἀγκύρας ἐτέλει τὸν πλοῦν ἁπλῶς.

„ Πλουτ. καὶ τὴν ἄγκυραν ἆραι κελεύσας.

Ἀγωγή. „ Συνέσιος πρὸς Πυλαιμένην. συνίστημι τῇ φιλίᾳ καὶ τῇ προστασίᾳ τῇ σῇ τὸν θαυμάσιον Σωσηνᾶν. ᾧ τὴν διὰ λόγων τραφέντι καὶ αὐξηθέντι, τὰ παρὰ τῆς τύχης οὐκ ἀπαντᾷ κατὰ λόγον. ἔνθα συνυπακούειν δεῖ τὸ ἀγωγήν, ἢ ἕτερόν τι τοιοῦτον.

Ἀγών. Ἐλλείπει ἐν τῷ Ἐπιτάφιος. ὡς παρὰ Πλουτάρχῳ, ἐν τῷ Πύῤῥος.

„ Πύῤῥος ὥσπερ ἐναγισμόν τινα τῷ παιδὶ τελέσας, καὶ λαμπρὸν Ἐπιτάφιον ἀγωνισάμενος.

Ὁ αὐτὸς ἐν τοῖς Ἀποφθέγμασιν Ἀλεξάνδρου,

„ Ἀπο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„ Ἀποθνήσκων δὲ πρὸς τοὺς ἑταίρους ἰδὼν ἔφη, μέγαν ὁρῶ μου τὸν Ἐπιτάφιον ἐσόμενον. πρόσκειται δὲ ἐν ἄλλοις, ὡς παρὰ Διοδώρῳ Βιβλ. ιζ′.

„ Ὅτι μέγαν ἀγῶνα αὐτῷ Ἐπιτάφιον συστήσονται. ὁ αὐτὸς ἐν Προοιμίοις τοῦ ιή. Βιβλίου.

„ Προορῶμαι γὰρ Ἐπιτάφιον μέγαν ἀγῶνα γενησόμενόν μοι τῶν φίλων.

Καὶ παρὰ Διονυσίῳ τῷ Ἁλικαρνασσεῖ Βιβλ. έ.

„ Ἀγῶνας μὲν τοὺς Ἐπιταφίους τιθέμενοι ἐπὶ τοῖς ἐνδόξοις ἀνδράσι.

Ἀγώνισμα. Ἐλλείπει ἐν τῷ πολεμιστήριον. καὶ ἀγωνίσματα ἐν τῷ πολεμιστήρια, ὡς ὁ Σχολιαστὴς παρὰ τῷ Κωμικῷ ἐν Νεφέλαις.

Ἀνήρ. Ἐν τῷ, ὁ περιέχων. Πλούταρχος ἐν τῷ Σύλλα.

„ Ἐξ ἀνεφέλου καὶ διαίθρου τοῦ περιέχοντος ἤχησε φωνή.

Ἆθλον. Ἐλλείπει ἐν τῷ νικητήριον. παρὰ Ξενοφῶντι Κύρου Παιδ. Βιβλ. ιά. Κεφ. ή.

„ Προεῖπε δὲ νικητήρια καὶ ὅλαις ταῖς τάξεσι.

Καὶ παρ' Ἀριστοφάνει ἐν τῇ ἱππεῖς στίχῳ 1250. παρὰ δὲ τῷ Πλάτωνι κεῖται ἐν τοῖς νόμοις. νικητήρια ἆθλα.

Αἰδοῖα. Συνυπακούεται ταῖς ἑξῆς Μετοχαῖς.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐν τῇ, διεσκολυμμένος, τουτέστι ὁ ἔχων τὰ αἰδοῖα ἐκκεκαλυμμένα καὶ γεγυμνωμένα. ἐν τῇ, ἀποσεσυρμένος, ἀπεψωχημένος. Ἀριστοφ. ἐν πλούτῳ στίχῳ 295. καὶ ὁ Σχολιαστὴς αὐτοῦ ἐν τῇ ἱππεῖς. ἴδε καὶ Ἡσύχιον ἐν τῷ ἐσκολυμμένον, ἐν τῷ ἀνασκολύψας, ἐν τῷ ἀπεσκόλυπτεν. καὶ Σουΐδαν ἐν τῷ ἀπεσκολλυμμένος.

**Αἴκισμα.** Θεόφιλος ὁ Βασιλεὺς ἐν τῷ κολάζειν Θεόδωρον τὸν γραπτὸν φέρεται εἰπεῖν. δὸς καλά. ᾧ συνυπακούεται, τὸ αἰκίσματα.

**Αἶσα.** Συνάπτεται, τῇ πεπρωμένῃ. ὡς παρὰ τῷ Αἰσχύλῳ.

„ Τήν τε πεπρωμένην δὲ χρὴ αἶσαν φέρειν. εἰδὲ ἐλλείπει συνυπακούεται τῇ πεπρωμένῃ τὸ αἶσα, ἢ μοῖρα, ἢ ἡμέρα, ἢ τύχη.

**Αἰτία.** Σπανίως εὑρίσκεται τῆς φωνῆς ταύτης ἡ Ἔλλειψις. ὡς Κεφ. η. τῆς Ἐξόδου.

„ Παραδοξάσω τῇ ἡμέρᾳ ἐκείνῃ τὴν γῆν Γεσέμ, ἐφ' ἧς ὁ λαός μου ἔπεστιν ἐπ' αὐτῆς... ἐφ' ἧς ἐλλείπει τὸ αἰτίας.

Ἐν ἄλλοις δὲ πρόσκειται. παρὰ Πρόκλῳ περὶ ἐπιφανείας καὶ κρύψεως τῶν παραλλήλων κύκλων.

„ Δι' ἣν αἰτίαν ἐπὶ τοῦ κύκλου τούτου αἱ Ἰσημερίαι γίνονται.

Καὶ παρὰ Ἰουστίνῳ τῷ Μάρτυρι,

ἐν τῷ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐν τῷ Παραινετικῷ πρὸς Ἕλληνας.

„ Δι' ἣν αἰτίαν ὦ Ἀριστότελες;

Ἐν δὲ τῇ Δοτικῇ Πτώσει, ὡς παρὰ Θουκυδίδῃ Βιβλ. ά.

„ Ἧ (τουτέστι αἰτίᾳ) καὶ μᾶλλον οἱ Τρῶες, αὐτῶν διεσπαρμένων, τὰ δέκα ἔτη ἀντεῖχον.

**Αἰτίαμα.** Εἴ τι ἐστὶν . . . ἐν τῷ ἀνδρὶ τούτῳ Πράξ. Ἀποστόλ. κέ. συνυπακουστέον τὸ αἰτίαμα. ὅπερ κεῖται ἑξῆς, στίχῳ ζ'. πολλὰ καὶ βαρέα αἰτιάματα φέροντες, δηλ. οἱ Ἰουδαῖοι.

**Αἴτιον.** Ἐλλείπει ἐν τῷ διὰ τοῦτο. ἤτοι διὰ τοῦτο τὸ αἴτιον. ὡσαύτως καὶ ἐν τῷ ἐξ οὗ, καὶ δι' οὗ, ἤγουν αἰτίου. καὶ ἐν τῷ τί γάρ; ὡσανεί τις εἴπῃ τί γάρ ἐστι τὸ αἴτιον. ὡς παρ' Αἰσχύλῳ ἐν τῷ Ἀγαμέμνονι στίχῳ 1148.

„ Ποῖ δή με δεῦρο τὴν τάλαιναν ἤγαγες;

„ Οὐδέν ποτ' εἰ μὴ ξυνθανουμένην. τί γάρ;

Καὶ ἐν τῷ διάτι; καὶ εἰς τι; καὶ παρὰ τοῦτο, καὶ εἰς τὸ μηδὲν εὑρίσκοντες, τὸ πῶς κολάσονται αὐτούς.

**Ἀκρίδες.** Τετραπτερυλλίδες, ἐλλείποντος, τοῦ ἀκρίδες, παρὰ Ἀριστοφάνει, οὕτω καλούμεναι παρὰ τὸ ἔχειν δ. πτερά.

**Ἀκρόπολις.** Συνυπακούεται τῇ Καδμείᾳ, ὡς Ἀρριανὸς Βιβλίῳ ά. καὶ Ἀντωνεία.

Ἄλλο.

Ἄλλο. „Τὶ ȣ̓͂ν τȣ́των αἴτιον, ἢ ὅτι παρὰ Ξενοφ. ἐν τῷ Οἰκονομικῷ Κεφ. γ΄. ἐλλείπει τὸ ἄλλο. καὶ παρὰ Θȣκιδίδῃ Βιβλ. δ΄.

„Κόπτοντες τὰ δένδρα, καὶ τὴν ὕλην. δηλ. ἄλλην.

Ἄλλος. Μεταξὺ τοῦ ȣ̓, καὶ εἰμή.

„Οὐκ ἐκβάλλει τὰ δαιμόνια (ἐν ἄλλῳ) εἰμὴ ἐν Βεελζεβȣ́λ. Ματθ. ιβ΄. 24.

„Πειρασμὸς ἡμᾶς ȣ̓κ εἴληφεν (ἄλλος) εἰμὴ ἀνθρωπινός. ά. Κορινθ. Κεφ. ιγ΄.

Ἄλφιτα. Ἐλλείπει εἰς τὸ νεήλατα. ὅρα τὸν Σȣΐδαν.

„Νεήλατα τὰ νεωςὶ ἀληλεσμένα ἄλφιτα ... κατ᾽ ἔλλειψιν δὲ οἱ Ἀττικοὶ προσφέρουσι νεήλατα μὴ προςιθέντες τὰ ἄλφητα.

Καὶ εἰς τὸ ἐπίπαςα. λείχειν ἐπίπαςα. Ἀριςοφ. ἱππεῖς. ςίχῳ 1087. ἔνθα φησὶν ὁ Σχολιαςής. πλακοῦσιν ἐπίπαοσον ἁλμυρὰ, καὶ ἐκ τȣ́τȣ ἠναγκάζοντο πίνειν πολλά.

Ἅμαξα. Συνυπακȣ́εται τῇ σκευοφόρος.

„Τῷ ἄρχοντι τῶν σκευοφόρων. Ξενοφῶν Ἑλλην. Βιβ. γ΄. ὅπερ προςίθησιν ἐν τῇ Κυροπαιδείᾳ Κεφ. ς΄. ὃς ἄρχεις τῶν σκευοφόρων ἁμαξῶν.

„Ταῖς σκευοφόροις ἐπέθηκε ξύλα. Αἰλ. Ποικ. Ἱς. Βιβ. θ΄. κατ᾽ ἔλλειψιν.

Ἀμπε-

Α'μπελος. Ε'λλείπει ἡ λέξις ἐπὶ ταύτης τῆς Παροιμίας. ἐρήμας τρυγᾷν, ἀντὶ τȣ̃ ἐρήμας ἀμπέλȣς τρυγᾷν.

„ Οὐκ, ἀλλ' ἐρήμας ὥςτ' ȣ̃τω ῥᾳδίως τρυγήσειν. Α'ριςοφ. Σφῆκας, ςίχῳ 632. ἔνθα φησὶν ὁ Σχολιαςὴς, ἐρήμας τρυγήσεις. Παροιμία ἐπὶ τῶν ἀδεῶς τι πραττόντων, ὡς μηδενὸς αὐτοῖς ἀντιπράττοντος ἐρήμας τρυγήσειν. ἔςι δὲ ἀπὸ τῶν τὰς ἀμπέλȣς τηρȣ́ντων ἀφροντίςως. ὁ αὐτός. Ε'κκλησ. ς'. 880.

„ Ω'ς ȣ̓, δ' ἐρήμας, ȣ̓ παρȣ́σης ἐνθάδε. ἐμȣ̃, τρυγήσειν.

Α'νάθημα. Ε'λλείπει ἐν τῷ ἱλαςήριον.

„ Ι'λαςήριον Α'χαιοὶ τῇ Α'θηνᾷ τῇ Ι'λιάδι. Δίων Χρυσός. Λόγῳ θ'.

Α'νάλωμα. Συνυπακȣςέον τῷ ἀπὸ σμικρȣ̃. Α'ριςοφ. πλ. 5. 377. καὶ Θȣκυδίδης Βιβλ. ή. εὕρηται δὲ παρ' Α'ριςοφάνει τὸ ἀπὸ σμικρᾶς δαπάνης.

Α'νδριάς. Ο'ρα εἰς τὸ ἄγαλμα.

Α'νῆκον. Α'νήκοντα. Τῷ πρός τι συνυπακȣ́εται τὸ ἀνῆκον, τοῖς πρός τι τὸ ἀνήκȣσι, τῷ πρὸς κόσμον. τὸ ἀνῆκον, τῷ πρὸς εἰρήνην, ἢ πρὸς ἀπαρτισμὸν, τὸ ἀνήκοντα. Λȣκᾶς Κεφ. ιδ'. 28. καὶ 32.

Παρὰ δὲ τῷ Πολυβίῳ Βιβλ. β'. προςίθεται.

„ Περὶ δαψιλείας τῶν πρὸς τροφὴν ἀνηκόντων,

Καὶ

Καὶ παρὰ Διονυσίῳ τῷ Ἁλικαρνασεῖ Βιβλ. έ.

„ Τῶν εἰς τὸν πόλεμον ἀνηκόντων.

Εἰμήτις εἴπῃ συνυπακȣςέον τȣ́τοις ϰ̀ τοῖς ὁμοίοις τὸ τεῖνον, ϰ̀ τείνοιτα, ϰ̀ ἐπιτήδεια.

„ Οἷον, πᾶν τὸ πρὸς κόσμον τȣ̃ βίȣ τεῖνον. Ἀρτεμίδωρος Ὀνειροκ. Βιβ. β'.

„ Καὶ τὰ εἰς πόλεμον ἐπιτήδεια. Διονύσιος Ἁλικ.

„ Καὶ τὰ εἰς τὴν κατασκήνωσιν ἐπιτήδεια. Παραλειπ. Κεφ. ιή. ἐν δὲ τοῖς, τὰ πρὸς τὸν Θεὸν, πρὸς Ἑβραίȣς Κεφ. β'. 17. Τὰ πρὸς αὐτὸν Πραξ. Ἀποσ. κγ'. 30. Τί πρὸς ἡμᾶς Ματ. κζ'. 4. ἁρμόττει τὸ ἀνήκει.

Ἀνήρ. Ἐν τῷ Συγκλητικὸς ἐλλείπει τὸ ἀνήρ. ϰ̀ Ἡλιόδωρος Αἰθιοπ. Βιβλ. ά.

„ Μὴ γίνȣ . . . τῆς ὀργῆς ὅλος ἤτοι ἀνήρ.

„ Ἡμεῖς δὲ οὐκ ἐσμὲν . . . ὑποςολῆς, ἤτοι ἄνδρες. πρὸς Ἑβρ. ι', 39.

Τὴν πίςιν Ἰησȣ̃ Χριςȣ̃ . . . δόξης ἤτοι ἀνδρός.

„ Ζήτησον ἐν οἰκείᾳ Ἰȣ́δα . . . Σαῦλον ὀνόματι, ἤτοι ἄνδρα. Πράξ. θ'. 11.

Ἄνθρωποι. Ἐν τῷ, φασὶ, λέγȣσιν, εἰώθασι, φιλȣ̃σι, μισȣ̃σι καὶ ὅλως ἐν τῷ ἄνθρωπος ἐν τῷ ἐχθρὸς, νέος, δȣ̃λος, πολέμιος, οἰκεῖος.

Ἐν

Ἐν δὲ τῷ πέλας συνυπακȣ́εται.

„ Μοιχεύειν τὰς τῶν πέλας ἐπ' ἀργυρίῳ. Αἰσχ. Διαλ. β'. περὶ πλȣσίων. καὶ ἐν τῷ ἐφήμεροι, ἢ ἡμέριοι, ἢ θνητοί.

Οἱ θνατοὶ πελόμεθα, τὸ δ' αὔριον ȣ̓κ ἐσορῶμες.

Ἐν τῷ οἴχεσθαι ἐλλείπει τὸ ἐξ ἀνθρώπων.

„ Λέγεται γάρ τι περὶ τῶν οἰχομένων καὶ τοιȣ̃το. Λιβάνιος.

Ἐν δὲ τῷ Ἀπολλωνίῳ Ἐπισ. ιγ'. ἐκφέρεται. οἴχεσθαι ἐξ ἀνθρώπων.

Ἄντρον. Συνυπακȣ́εται τῷ Γλάφυ, ἢ Γλαφυρῷ. Ἡσ. Ἔργ. σίχῳ 532.

„ Καὶ Γλάφυ πετρῆεν. ἔνθα παρασημειȣ̃ται ὁ Μοσχόπȣλος. τὸ γλάφυ ȣ̓κ ἀποτελεῖ ἔννοιαν μόνον, ὥσπερ ȣ̓δὲ τὸ πέτρινον, συνυπακȣόμενον δὲ ἔχει τὸ ἄντρον.

Οὕτω ἐν Τροφωνίȣ ἀντὶ τȣ̃ ἐν ἄντρῳ Τροφωνίȣ, ἢ εἰς Τροφωνίου ἀντὶ τȣ̃ εἰς ἄντρον τροφωνίου, ἢ εἰς νυμφαῖον ἀντὶ τȣ̃ εἰς ἄντρον νυμφαίου.

Ἁπαλός. Ἔστιν ὅτε ἐλλειπτικῶς λέγεται ἐξ ὀνύχων, ἀντὶ τȣ̃ ἐξ ἁπαλῶν ὀνύχων.

Ἀπόφθεγμα, ἢ Ῥῆμα. Τὸ τȣ̃ Βίαντος, τὸ τȣ̃ Σόλωνος. ἐλλείπει τὸ Ἀπόφθεγμα, ἢ Ῥῆμα.

Ἀργύριον, ἢ τίμημα. Ἡ Γενικὴ τȣ́των συνυπακȣ́εται ἐν τῷ ὠνεῖσθαι καὶ πωλεῖν, πολλȣ̃, ἢ ὀλίγȣ.

„ Ἐπεὶ δὲ ἔφατο αὐτὴ πωλεῖν τὸν

κάπη-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κάπηλον πολλȣ̃. Αἰλ. Ποικ. Ιϛ. ί. 9.

Ἅρμα. Ἐλλείπει ἐν τῷ τέθριππον ἢ τέθριππα, ἐν τῷ πολεμιςήριον, καὶ ἐν τῷ ἐλαύνειν. ὁ αὐτὸς Ποικ. ά. 17.

„ Τέθριππα μὲν ἐποίησαν, δηλονότι ἅρματα.

„ Εἰ τέθριππα γ' ἐς ἅρματα λεύσσων ἀελίȣ. Εὐριπ. Φοιν. ϛ'. 155.

„ Πολεμιςήρια καλȣ̃νται, καὶ πολεμικὰ ἅρματα. Σχολ. Ἀριςοφ. ἐν Νεφ. εὕρηται ἀνελλειπῶς παρὰ Λȣκιανῷ. ἐν τῷ δισκατηγορȣ́μενος.

Καὶ παρὰ τῷ Ἀριςοφάνει. Νεφ. 5. 68.

Ὅταν σὺ μέγας ὢν ἅρμα ἐλαύνῃς πρὸς τὴν πόλιν.

Ἁρμονία. Φασὶν αὐτὸν οἱ παῖδες τὴν Δωριςὶ μόνην ἂν ἁρμόττεσθαι θαμὰ τὴν λύραν. Ἀριςοφ. ἐν τῇ ἱππεῦς 5. 985.

Οὗ τὸ ἀνελλειπὲς ἐςί.

Πρὸς τὴν Δωριςὶ μόνην ἁρμονίαν ἁρμόττεσθαι τὴν λύραν.

Ἄρτος. Συνυπακȣ́εσθαι ἐν τῷ πλακȣ̃ς, νασὸς, ζυμητὸς, τυρώεις, ἐγκρυφίας.

„ Καὶ τυρόεντα μέγαν. δηλ. ἄρτον. Θεόκρ. Εἰδύλ. ά. 58.

„ Καὶ τῆς πήρας προσκομίσασα ζυμητȣ̃ μέρος. Λόγ. ποιημ. β'.

„ Ἐποίȣν ἐγκρυφίας. Ἀριθ. ιά. 8.

„ Ἐγκρυφίαν κρίθινον φάγεσαι. Ἰεζεκιήλ. δ'. 12.

Ἀρ-

**Ἀρχή.** Ἐν τῷ ἀπὸ πρώτης ἐλλείπει τὸ ἀρχῆς. Θυκ. Βιβλ. ά.

„ Ἢ εἰ ἀπὸ πρώτης ἀποθέμενοι τὸν νόμον. Οὕτω καὶ τὸ ἐκ νέας. Ἡρόδ. Βιβλ. ά. Κεφ. 60.

„ Αὖθις ἐκ νέης ἐπ' ἀλλήλοισιν ἐστασίασαν.

**Ἀρχὴ, ὃ σημαίνει ἐξουσίαν.** Ἡ Αἰτιατικὴ τῆς φωνῆς ταύτης καθ' ὃ εἴρηται σημαινόμενον λαμβανομένης παραλείπεται ἐν τῷ κατέχειν.

Αἰλ. Ποικ. Ἱσ. ιβ'. 8.

„ Ἐπώμνυεν οὖν εἰ κατάσχοι.

„ Χρόνον οὐ πολὺν κατέσχεν δηλ. ἀρχήν. Διονύσιος Ἁλικ. Βιβλ. ή.

„ Ἐξεληλάσθαι τῆς πόλεως αἰτιώμενοι βίᾳ πρὸς τοῦ τότε κατέχοντος κατὰ τὴν Ἰταλίαν ἡγεμόνος. ἀντὶ τοῦ τὴν ἀρχὴν κατέχοντος ἐλλειπτικῶς. τοιοῦτον ἐστὶν καὶ τὸ, ὁ κατέχων ἄρτι. πρὸς Θεσ. ιά. 7. καὶ ἐν τῷ ἀπόμνυμαι, καὶ κρατῶ.

„ Ἔνθα οἱ Ῥωμαίων ἄρχοντες ἀπόμνυνται. Ἡρωδ. Κεφ. δ'.

„ Εἰ δέ τις κρατοῦντας τοῦ πλήθους ἐπ' ἀρετῆς προτρέψειεν, ἀντὶ τοῦ κρατοῦντας τὴν ἀρχὴν τοῦ πλήθους. Ἰσοκρά. πρὸς Νικ. ά.

**Ἆσμα.** Συνυπακούεται ἐν τῷ ἐνδοτικὸν, ὃ λέγεται καὶ ἐνδόσιμον, κελευστικὸν, ἐγερτήριον, περσικὸν, παρακλαυσίθυ-

ρον,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρον, ἐπινίκιον, πριάπειον, ἐπιλήνιον.
„Καὶ Βότρες ἱμερίδων θλίβων ἐπιλήνια χαίρει. Ὀππιανὸς Κυνηγ. 127.

Ἀσπίς. Ἐν τῷ βοείη. Ἀνακραίων ᾠδῇ νδ'.
„Καὶ δόρα καὶ βοείην.
„Μάτην δ' ἔχω βοείην.
Ὡσαύτως καὶ ἐν τῷ ταυρείη. εὕρηνται δὲ ἀνελλειπῶς παρ' Ὁμήρῳ. ἀσπίδι ταυρείῃ. Ἰλ. π. 5. 621.
Καὶ παρὰ Ἀπολλωνίῳ. Βιβ. 4. 5. 200. ... τοὶ δὲ βοείας ἀσπίδας.

Ἀστήρ. Ἐλλείπει ἐν τῷ Φωσφόρος, Ἑωσφόρος, Πλανήτης, Κομήτης, Διάττων, Σύριος.

Ἄστρα. Ἐν τῷ οὐράνια. τοῖς τὰ οὐράνια διασκεπτομένοις. Ἀρτέμ. Ὀνειροκ.

Αὐλός. Συνυπακούεται τοῖς ὀστίνοις, παρ' Ἀριστοφ.
„Ὑμὲς δ' ὅσοι θήβαθεν αὐληταὶ πάρα.
„Τοῖς ὀστίνοις φυσῆτε τὸν πρωκτὸν κυνός.
Ἔνθα ὁ Σχολιαστὴς φησί. τοῖς; λείπει τὸ αὐλοῖς. ὀστίνοις δὲ ἔφη, ὅτι τὸ παλαιὸν ἀπὸ τῶν ἐλαφείων ὀστῶν κατεσκεύαζον τοὺς αὐλούς. ἴδε καὶ Ἡσύχιον ἐν τῷ καλτός.

Αυρα. Ἐν τῷ πνεούση.
„Καὶ ἀπάραντες τὸν Ἀρτέμονα τῇ πνεού-

πνευούσῃ. δηλ. αὔρᾳ. Λȣκᾶς Πρ. Ἀποσ. κζ΄.

# Β΄.

Βάδισις. Ἐλλείπει ἐν τῷ ταχεία καὶ ταχίςῃ.
„ Οἱ δὲ τὴν ταχίςην προσδραμόντες. Αἰλ. Ποικ. Ις. ά.
„ Τῇ βαδίσει ἐν τῷ τάχει. ἐν τῷ Πλ. Ἀριςοφάνεις ἓν διὰ δυοῖν δηλῶν ἔφη. ἀντὶ τȣ̃ τῇ ταχείᾳ.

Βακτηρία. Ἐν τῷ καμπύλῃ.

Βασιλεία. „ Πέμπτῳ δὲ ἔτει τῆς Ἀριςοδήμου. δηλ. βασιλείας. Παυσανίȣ Μεσ.

Βασιλεύς. Τὸ βασιλεὺς ὡς ἐπὶ τὸ πλεῖςον συνυπακȣ́εται τοῖς Κυρίοις Ὀνόμασι.
„ Ἀρδαβȣ́ριος ςρατηγὸς ἐπὶ Λέοντος δηλ. βασιλέως.

Βῆμα. Ἐλλείπει ἐν τῷ μεγάλα, ἁβρά, ἶσα.
„ Μεγάλα, ἤτοι βήματα, βαίνειν. ἐπὶ ἀλαζωνικῆς βαδίσεως.
„ ἁβρά. ἐπὶ ἁβρȣ̃ βαδίσματος.
„ ἶσα. ἐπὶ σεμνοπρεπȣ̃ς.

Βίβλος. Συνυπακούεται τοῖς Ἀριθμητικοῖς Ὀνόμασι, πρώτη, δευτέρα καὶ τοῖς ἑξῆς.
„ Διόκλῆς δὲ ἐν τῇ τρίτῃ τῆς ἐπιδρομῆς φησί. δηλ. Βίβλῳ. Διογ. Λαέρ. 10. καθὰ δὴ καὶ τὸ Βιβλίον, τῷ ἐγχειριδίῳ, καὶ προχείρῳ, ὡς Ἐπικτήτου ἐγχειρίδιον,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

διον, πρόχειρον νόμιμον Ἁρμενοπούλ[ου] δηλ. Βιβλίον.

Βίος. Εἰς Αἰτιατικὴν πτῶσιν. ὁτὲ μὲν πρ[ό]σκειται τοῖς δὲ τοῖς ῥήμασι, διάγ[ειν,] διαφέρειν, τελευτᾷν, καλαστρέφειν, ἐπ[ι]λείπειν, ἐκλείπειν, ἀποψύχειν, ἐ[κ]πνέειν. οἷον, ἵνα ἥμερον καὶ ἡσύχι[ον] βίον διάγωμεν. ά. πρὸς Τιμ. β'. ὁτὲ δὲ παραλείπεται.

„ Ἄπαις διοίσει. Εὐριπ.

„ Ἤμελλε τελευτᾷν. Λυκ. ζ'. 2.

„ Ἐπιλιπόντων τῶν κληρονόμων Πλάτων Νομ.

„ Κατέστρεψεν. Αἰλ. ποικ. Ἰς.

„ Τῇ μετ' τὴν εὐχὴν νυκτὶ μετήλλα[]ξεν. Αἰσχίνης Διαλ. γ'.

„ Ὁ θάνατος οὔτε πρὸς τοὺς ζῶντ[άς] ἐστιν, οὔτε πρὸς τοὺς μετηλλαχότας: αὐτούς. ἐν οἷς συνυπακουστέον τὸ βίο[ν] τὸ δὲ ἀπελθεῖν ἐκ τοῦ βίου, ἢ ἐκ τοῦ ζ[ῆν] ἢ ἐξ ἀνθρώπων εὐφημότερον λέγετ[αι] ἀντὶ τοῦ ἀποθανεῖν.

Βίος. Σημαίνων τὰ χρήματα, εἴτουν τ[ὰ] πρὸς τὸ ζῆν ἀναγκαῖα, συνυπακούετ[αι] ταῖς Μετοχαῖς ταύταις ἔχοντες, ο[ὐκ] ἔχοντες. Παρὰ δὲ τῷ Εὐριπίδῃ πρ[ό]σκειται. ἐν δὲ μὴ ἐχόντων βίον

Οὐδ' εἰ θέλοιεν ὠφελεῖν ἔχοιεν ἂν

Βολή. Ἐλλείπει ἐν τῷ ἐντὸς βέλους: ἵν[α] ᾖ τὸ ἀνελλειπὲς ἐντὸς βολῆς βέλους:

„ Οἱ

„ Οἱ δὲ ἐντὸς βέλȣς. καὶ οἱ μὲν ἀμφὶ τὸν γλαυκίαν εἴσω βέλους παρελθεῖν ἐκ ἐτόλμων. Ἀῤῥιαν. β'. ά.

Βοτάνη. Συνυπακȣ́εται ἐν τῷ κενταύρειος, ἢ κενταυρεία, πανάκεια, ὀνόχειλος, οἰνοῦττα, αἵπερ εἰσὶν εἴδη βοτάνης.

Βȣλευτήριον. Ἐν τῷ κοινὸν, καὶ συνέδριον.

„ Οὐ προσεδέξαντο αὐτὸν εἰς τὴν πόλιν, ȣ̓δὲ ἐπὶ τὸ κοινόν. Θȣκ. β'.

Βȣλή. Ἐν τῷ σύγκλητος, ἐν τῷ ἐς μίαν, ἐν τῷ ἐπιλαμβάνεσθαι, ἐν τῷ κοινῇ καὶ ἰδίᾳ.

„ Εἰ δὲ ποτ' ἔς γε μίαν βουλεύσομεν, δηλ. βουλήν. Ὅμηρος. Ἰλ. β'. 379.

„ Ἱπποτροφεῖν ȣ̓̃τος ἐπελάβετο, ἀντὶ τȣ̃, ȣ̓̃τος ἐπελάβετο βουλὴν τȣ̃ ἱπποτροφεῖν. Παλαίφατος Βιβλ. δ'.

„ Ἄχρή σε κοινῇ σὺν Κυαξάρῃ σκοπεῖσθαι. Κύρου Παιδείας. ά. 33.

„ Σκοπεῖν δ' ἀξιῶ καὶ σὲ καὶ ἐμὲ κοινῇ. δηλ. βουλῇ. β'. 23.

„ Ἰδίᾳ πράσσων, ἢ ςρατȣ̃ ταχθεὶς ὑπό. βουλῇ Εὐρυπ. Ἰφιγ. 5. 1363.

Τὸ δὲ βουλὰς ἐν τῷ συμβάλειν.

„ Συνέβαλλον πρὸς ἀλλήλους, ἤτοι συνέβαλον βȣλάς. Λȣκ. Πράξ. δ'. 15.

„ Θέλω πρὸς αὐτὸν συμβαλεῖν βουλεύματα. Εὐρυπ. Φοιν. 700.

Βραβεῖον. Οὐχ ὅτι ἤδη ἔλαβον, συνυπακου-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στέον τὸ βραβεῖον. πρὸς Φίλιπ. γ'. 12.

Βρέφος. Συνυπακούεται ἔντισιν ἐπιθέτοις ἐν οὐδετέρῳ γένει.

„ Τὰ δὲ νήπια, καὶ τὰ πρεσβύτερα. Ἱπποκ. Ἀφορ. δ'.

„ Ὅτε μοι τοιαῦτα θέαιναι. τίκτοιεν. Καλλίμαχος ὕμνῳ Ἀρτέμ.

Καὶ ἐν τῷ γαστρὶ ἔχειν. δηλ. βρέφος.

Βρῶμα. Ἐλλείπει ἐν τῷ ἔνθρυπτα, πολυτελῆ, ἐπίπαστα.

„ Εἰσὶ δὲ ἔνθρυπτα τὰ ἐκ πεμμάτων, ἢ τὰ ἐνθρυβόμενα βρώματα. Ἁρποκρατίνων.

„ Σιτεῖται δὲ οὐδὲν τῶν πολυτελῶν Ἀλκίφρων Ἐπις.

Καὶ ἑνὶ λόγῳ ἐν πᾶσι τοῖς ῥήμασι τοῖς πρὸς βρῶσιν ἀνήκουσι, συνυπακουστέον τὸ τροφὴ, ἢ βρῶμα.

„ Καὶ ἤθελε γεύσασθαι. Πράξ. ί.

„ Ὡς δὲ ἐνεπλήσθησαν. Ἰωάν. ς'. 12.

Βωμός. Ἐν τῷ βωμὸς παραλείπεται ἐνίοτε ἡ ἐπὶ Πρόθεσις, καὶ ταῦτα ἡνίκα ἐκφέρεταί τινος Θεοῦ ὄνομα.

„ Θῦσαι δὲ αὐτὸν καὶ Πριάμῳ ἐπὶ τοῦ Διὸς τοῦ Ἑρκείου-λόγος κατέχει. Ἀρριανός. ά.

# Γ.

Γάμος. Παραλείπεται ἐν τῷ ὥρᾳ, ἢ ὡραίᾳ.

Τὰς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Τὰς δὲ θυγατέρας ἐν ὥρᾳ γενομένας δηλ. γάμυ. Ἡρωδια. ά. 2.

Γεγονώς. „ Μετὰ δὲ τρέπεται βρότεος χρώς „ πολλὸν ἐλαφρότερος. λείπει τὸ γεγονώς.

„ Σημεῖον δι' αὐτῶν δηλ. γεγονός. Πράξ. δ'. 16.

Γενέθλιος. Παραλείπεται ἐν τῷ ἡμέρᾳ.

„ Ὁπότε συνάγει τὺς φίλυς εἰς τὴν Ἀλκυονέως τῦ Ἀντιγόνυ ἦγε ἡμέραν. ἤτοι γενέθλιον. Λαέρτιος δ'. 48.

„ Μετὰ τῦτο ἤνοιξεν Ἰὼβ τὸ στόμα αὐτῦ, καὶ κατηράσατο τὴν ἡμέραν αὐτῦ. δηλ. τὸ γενέθλιον. Ἰὼβ Κεφ. γ'. 1.

Γέννημα. Ἐν τῷ πρωτότοκον, σπόριμον, καινὸν, παλαιόν.

„ Ὁ ὀλοθρεύων τὰ πρωτότοκα. πρὸς Ἑβραίυς ιά. 28.

„ Διὰ τῶν σπορίμων. Ματθ. ιβ'.

„ Καινὰ καὶ παλαιά. ὁ αὐτὸς ιγ'. 42.

Γένος. Συνυπακύεται τῷ πρὸς πατρὸς, τῷ πρὸς μητρὸς, τῷ ἀνθρωπίνῳ, τῷ κρείττονι, τῷ θείῳ, τῷ ἄρσενι, τῷ γυναικείῳ, τῷ μητρῴῳ.

„ Ἐκ τῶν Νομάδων Σκυθῶν τὸ πρὸς μητρὸς γένος ὤν. ἔνθα λείπει καὶ ἡ κατὰ Πρόθεσις, ἵνα ᾖ κατὰ τὸ πρὸς μητρός. Αἰσχίνης περὶ Δημοσθένυς.

„ Ἀσθενεστέρῳ σκεύει τῷ γυναικείῳ. δηλ. γένει. Πέτρος. ά. γ'. 7.

„ Πρὸς τὰ πνευματικὰ τῆς πονηρίας. Πρὸς Ἐφεσ. δ'. 12.

Γῆ. Ἐλλειπτικῶς λαμβάνεται ἐν πολλοῖς Ἐπιθέτοις Ὀνόμασι, καὶ Ἀντωνυμίαις.

„ Πῶς οὐ κατάγουσιν αὐτοὺς εἰς τὴν οἰκείαν. Πολύβιος Πρεσβ. ιδ'.

„ Τὴν ἑαυτοῦ φυγών. Πλουτ. Φιλοποίμενι.

„ Ἐπὶ τῆς ἡμετέρας. Ξενοφ. Κύρου Παιδ. β'.

„ Ἀδεῶς οἰκεῖν τὴν ἑαυτῶν. Λουκ. εἰς Χαρίδημον.

Οὑτωσί πως ἐννοεῖται τὴν ξένην, τὴν ἀλλοτρίαν, τὴν ἀλλοδαπὴν, τὴν βάρβαρον, τὴν ἤπειρον, τὴν χέρσον, τὴν δορύκτητον, τὴν ὑπήκοον, τὴν ἐνεγκοῦσαν, τὴν τρυφερὰν, τὴν ξυρὰν, διερὰν, αὔην πατρίδα, ὑπερορίαν, φιλίαν. ἐν ᾗ ἀπατηθέντες τινὲς εἶπον ἀγάπην, ἀντὶ τοῦ φιλίαν γῆν.

„ Ὁ Μάρκιος περὶ τὸν Ὄρθρον ἀναστήσας τὴν στρατιὰν ὡς διὰ φιλίας. δηλ. γῆς. Διονύσ. Ἁλικ. β'. η'. ὁ δ' αὐτὸς παρακατιὼν, ἀπῆλθεν ἐκ τῆς πολεμίας.

„ Πατρίδα δὲ μόνον εἰπεῖν ἐλλειπῶς ἔχει. πατρίς τε γὰρ γῆ δηλονότι, ἡ ἐκ τῶν πατέρων, καὶ ὁ πατρίδα εἰπὼν γῆν συνεισάγει. Εὐστ. Ἰλ. β'.

„ Αὔην δὲ καὶ διερὴν ἀρόων ἀρότοιο

καθ'

καθ' ὥραν. Ἡσι. ἔργ. β'. ς'. 458.

„ Καὶ τί λέγω τὴν εἰς ὑπερορίαν μετάςασιν. Χρυσ. τὸν ἑαυτ.

„ Μὴ ἀδικῦντα, πρὸς τὴν ὑπερορίαν μετῳκίθης, ἐννόησον ὅτι ὐκ ἔχει, ἐνταῦθα πατρίδα. ὁ αὐτός. ἡ οἰκυμένη. δηλ. γῆ. ἐν ᾗ ὐ συνυπακυςέον ἀεὶ τὴν σύμπασαν γῆν, ὡς πολλάκις λαμβάνεται. ἀλλὰ καὶ μέρος γῆς, ὅπερ ἀπαιτεῖ ἡ τῦ Συγγραφέως ἔννοια. ὕτω παρ' Ἀριςοφάνει ἱππεῦς ς'. 725.

Ἔνθα φησὶν ὁ Σχολιαςής. πάντως ἐνταῦθα τὸ οἰκυμένη, ἐπὶ τῆς τῶν Ἑλλήνων οἰκυμένης, ἢ ὑπὸ τῶν Ἑλλήνων οἰκυμένης εἴληπται. ὡς δηλοῖ καὶ τὸ τῦ Ἡρωδιανῦ μετὰ προσδιορισμῦ κείμενον. Βιβλ. έ.

„ Ἡ ὑπὸ Ῥωμαίυς οἰκυμένη.

Προσέτι λαμβάνεται ἐλλειπτικῶς κἀν τύτοις τοῖς Ῥήμασι. πολῶ, γεωργῶ, σείω.

„ Εἴαρ πολεῖν, ἀντὶ τῦ ἐν ἔαρ δεῖ πολεῖν τὴν γῆν. Ἡσι. ἔργ. β'.

„ Γεωργεῖν πολλήν, δηλ. γῆν. Ἀρις. Ἐκκλ. 588.

„ Ὁ Ποσειδῶν σείσας. ὁ αὐτὸς Ἀχ.

Γλῶσσα, Τὸ Γλῶσσα, ἢ Διάλεκτος συνυπακυςέον ἐν τῇ Ἀτθὶς, Ἑβραϊκὴ, Ἑλληνικὴ, Ῥωμαϊκή. ἢ ἐν τῷ, ἡ τῶν Ἑλλήνων.

„ Οὐχ ἅπαντες ὦ Ζεῦ τὴν τῶν Ἑλλή-

λήνων συνιᾶσιν. Λουκ. Ζεῦς. Τραγ.

**Γνώμη.** Ἐλλείπει ἐν τῷ νικῶσα.

„ Ἐψηφίσαντο ἐκ τῆς νικώσης. δηλ. γνώμης. Ξενοφ. Κύρυ Ἀναβ. ϛʹ. ἐν τῷ κοινῇ.

„ Κοινῇ σώζειν, δηλ. γνώμῃ. Σχολ. Θουκιδίδου Βιβλ. δʹ. 61. ὁ αὐτός.

„ Κοινῇ ἀμφοτέρους ποιεῖσθαι, ἤτοι γνώμῃ.

Ἐν τῷ θεσπεσίᾳ. δηλ. γνώμῃ ἢ βουλήσει.

„ Γνώσεαι εἰ καὶ θεσπεσίῃ πόλιν ὐκ ἀλαπάξεις. Ἰλ. β. 5. 367.

Ἔνθα φησὶν ὁ Εὐςάθιος. ἔλλειψιν ἔχει τῦ βουλῇ, ἢ γνώμῃ, ἢ κελεύσει. ἐν τῷ ἐμὴν καὶ κατὰ τὴν ἐμὴν δηλ. γνώμην, καὶ ἀπὸ μιᾶς, δηλ. γνώμης. ἐν τῷ συμβάλλεσθαι. ὡς Ἡρόδοτος, καὶ Παυσανίας.

Καὶ ἐν τῷ συντιθέναι, ἀποφαίνεσθαι, μεταβάλλεσθαι, γνώμην ἢ ψῆφον. ἐν τῷ εἶπε.

„ Τιμοκράτης εἶπε (δηλ. γνώμην) ὁπόσοι Ἀθηναίων. Δημοσθένης Τιμοκρ.

„ Ἔδοξε τῷ δήμῳ, τισάμενος εἶπε, πολιτεύεσθαι Ἀθηναίυς εἰς τὰ πάτρια. ὁ αὐτός.

**Γράμματα.** Ἐλλείπει ἐν τῷ ἀπόρρητα. ἀνελλειπῶς δὲ κεῖται παρ' Ἡρωδιανῷ.

„ Κινέας πρὸς τὴν βουλὴν τῶν Ῥωμαίων ἔγραψε δι' ἀπορρήτων. Αἰλ. Ποικ. Ἰϛ. ιβ.

„ Ὅτι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„Ὅτι φέρουσι γράμματα πρὸς Μαξιμῖνον ἀπόῤῥητα.

Γραμμή. Συνυπακούεται τῇ ὀρθῇ, ὡς πρὸς ὀρθὴν γραμμήν. τῇ καθέτῳ, τῇ παραλλήλῳ, τῇ ὑποτεινούσῃ, τῇ διαμέτρῳ, τῇ ἱερᾷ.

„Ἀπὸ τῆς πατρίδος, ὥσπερ ἀφ' ἱερᾶς ἤρχετο τὰ σπέρματα τῆς εἰρήνης ἀποῤῥίπτειν. Φίλων Πρεσβευτικῷ πρὸς Γάϊον.

„Ἀφ' ἱερᾶς. οὕτως ἐλέγετο γραμμὴ ἱερὰ παρὰ τοῖς πιστεύουσιν. Ἡσύχιος.

„Σφαῖρα ἐστὶν, ὅταν ἡμικυκλίων ... μενούσης τῆς διαμέτρου. Εὐκλείδης.

Γραφή. Φεύγειν ὕβρεως, φεύγειν φόνου. δηλ. γραφὴν, ἢ δίκην ὕβρεως, φόνου.

Γραφὴ θεῖα. Συνυπακούεται τῷ φησὶ ῥήματι.

„Οὐδεὶς φησὶ, στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου Πραγματείαις. Μάρκος Ἐρημίτης.

„φησὶ γὰρ, ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται. ὁ αὐτός. ἐν οἷς συνυπακουστέον τὸ, ἡ Θεῖα Γραφὴ, ἢ ὁ Εὐαγγελιστὴς, ἢ ὁ Ἀπόστολος.

Γυνή. Ἐλλείπει ἐν τῷ, ἡ Ἕκτορος Ἀνδρομάχη, ἡ Θεαγένους, καὶ ἐν τοῖς ὁμοίοις.

„Μαρία ἡ τοῦ Κλωπᾶ, δηλ. ἡ γυνὴ τοῦ Κλωπᾶ. Ἰωάνν. ιθ'. 25.

„Ἐκ τῆς τοῦ Οὐρίου, δηλ. γυναικός. Ματθ. ά. 6.

„Ἑπτὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

„ Ἑπτὰ γὰρ ἔσχες ἄνδρας καὶ ἑνὸς αὐτῶν οὐκ ὠνομάσθης, δηλ. γυνή. Ἰώβ. γ΄. 8.

„ Παραλείπεται καὶ παρὰ τῷ Ἰσοκράτει πρὸς Νικοκλέα.

„ Οὐκ ᾠήθην δεῖν τοὺς μὲν, (ἤτοι παῖδας) ἐκ ταπεινοτέρας τῶν παίδων τοὺς δὲ ἐκ σεμνοτέρας, δηλ. γυναικός.

## Δ.

Δαιμόνια. Ἐλλείπει ἐν τῷ ξενίζοντα.

„ Ξενίζοντα γάρ τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν. Πράξ. ιζ΄. 20. ὅπερ δῆλον γίνεται καὶ ἐκ τῶν ἐφεξῆς, ἐν οἷς ὁ θεῖος Ἀπόστολος Παῦλος λέγεται ξένων, ἢ ξενιζόντων δαιμονίων εἶναι καταγγελεύς. τῆς αὐτῆς γὰρ εἰσὶ σημασίας τὸ ξένον, καὶ τὸ ξενίζον.

Δάμαλις, Ἴδε ἐν τῷ εἰκών.

Δάνειον. Ἐλλείπει ἐν τῷ ἀρχαῖον. ὃ σημαίνει τὸ κεφάλαιον.

„ Οὔτε τόκον, οὔτε τὸ ἀρχαῖον. Δημοσθέν. κατὰ Νικοστράτου.

Ὁ αὐτὸς ἄνευ ἐλλείψεως.

„ Οὐ γὰρ ἂν ἀπεδίδοτο τό,τε ἀρχαῖον δάνειον, καὶ τῶν τόκων μέρος τι. Δημ. κατὰ Διονυσ.

Δείλη, Ἐν τῷ ὀψία. ὀψίας δὲ γενομένης. ἀντὶ τοῦ δείλης ὀψίας δὲ γενομένης. ὡς

ἐπὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ πλεῖϛον δὲ εὑρίσκεται παρὰ τοῖς Συγγραφεῦσιν ἀνελλειπῶς.

„ Περὶ δείλην ὀψίαν. Διον. Ἀλικ. έ.

„ Μέχρι δείλης ὀψίας. ὁ αὐτὸς ή.

„ Γενομένης δὲ τῆς τροπῆς περὶ δείλην ὀψίαν. Θυκ. γ΄.

„ Περὶ δείλην ὀψίαν. Λουκιαν. Λούκιος, ἢ Ὄνος.

„ Δείλης δὲ ὀψίας γενομένης. Αἰλ. Ἱϛορ. ζ΄. ά.

Συνυπακουθείη δὲ τῇ ὀψίᾳ καὶ τῇ ὥρᾳ, ἥτις πρόσκειται τῇ ὀψίᾳ παρὰ τῷ Εὐαγγελιϛῇ.

„ Καὶ περιβλεψάμενος πάντα, ὀψίας ἤδη οὔσης τῆς ὥρας ἐξῆλθεν εἰς Βιθανίαν. Λέγεται δὲ καὶ δείλης Ἑώας, καὶ δείλης Μεσημβρίας. Μάρκος ιά. 11.

Καὶ δείλης πρωΐας, ἀντὶ τοῦ Ἑωθινοῦ, Μεσημβρινοῦ, καὶ Πρωϊνοῦ τῶν χρόνων.

Δεῖμα. Ἐλλείπει ἐν τῷ πανικά.

„ Τοὺς καινοὺς καὶ νυκτερινοὺς τῶν ϛρατευμάτων φόβους πανικὰ κληΐζομεν. Πολυαιν. ά.

Δεῖπνον. „ Ἐπινίκια δειπνεῖν ἐλλείπει τὸ δεῖπνα. Ἀριϛοφ. Ἐκκλ. 1173.

„ Εἰ δέ τις ὑμᾶς καλεῖ τῶν ἀπίϛων, ἐλλείπει τὸ ἐπὶ δεῖπνον. ά. πρὸς Κορ. ί. 27.

Δεσμωτήριον. Συνυπακούεται ἐν τῷ δημόσιον, ἡνίκα τὸ

κα τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κα τὸ δημόσιον λαμβάνεται, ἀντὶ τῆς κοινῆς εἱρκτῆς. τὸ γὰρ ἀνελλειπές ἐστι· δεσμοτήριον δημόσιον, ὡς παρὰ Θουκιδίδῃ.

Δεσπότης καὶ Δέσποινα. Συνυπακούονται τὸ κεκτημένος, καὶ κεκτημένη.

Διαθήκη. Παραλείπεται ἐν τῷ, Παλαιὰ, καὶ Καινή.

„ Εἰ πονηρᾶς ἦν ἀρχῆς ἡ Παλαιά. Φώτιος κατὰ Μανιχαίων.

Διαλογισμός. Ἀνέβη ἐπὶ τὴν καρδίαν αὐτοῦ, δηλ. διαλογισμός. οὐ τὸ πλῆρες.

„ Διατὶ διαλογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν. Λουκ. κδ΄. 38.

Διάνοια. παραλείπεται ἐν τῷ ἐπιστῆναι. ἔστι δ' ὅτε καὶ ἐκφέρεται.

„ Ἤδη μὲν καὶ πρότερον πολλάκις ἐπιστήσας τὴν διάνοιαν. Θεοφρ. Χαράκ.

„ Ἐπὶ πάντα ἢ ἐπὶ πάντας ἐλθεῖν. Λουκ. Ἑρμότιμος. Τουτέστι ἐπὶ πάσας τὰς τῶν Φιλοσόφων αἱρέσεις ἐλθεῖν τῇ διανοίᾳ.

Διάστημα. Παραλείπεται ἐν τῷ τοσοῦτον, βραχὺ, πολὺ, μικρόν.

„ Βραχὺ δὲ διαστήσαντες. Πράξ. Ἀπος. κζ΄. 28.

„ Καὶ ταύτας διὰ πολλοῦ. Θουκ. β΄. γ΄. 94.

Ἔνθα παρασημειοῦται ὁ Σχολιαστὴς, διαστήματος δηλονότι.

Ὁ αὐ-

Ὁ αὐτὸς διὰ πολλȣ̃ καὶ ἐκ πολλȣ̃. συνυπακȣομένȣ τȣ̃ διαςήματος.

Καὶ ἐπὶ πολὺ, διάςημα δηλ. ὡς ὁ Σχολιαςής.

„ Συνθεωρήσας ἐκ πολλȣ̃ τὴν ἀνθρωπίνην φύσιν. Θεοφρ. Χαρακ.

„ Ἔτι μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με, δηλ. μικρὸν διάςημα χρόνου. Ἰωάν. Εὐαγ. ις΄. 16.

Διατριβή. Φοιτᾶν εἰς Διδασκάλȣ, εἰσέρχεσθαι εἰς Γραμματικȣ̃, ἐλλείπει τὸ διατριβὴν, ἵνα ᾖ τὸ πλῆρες εἰς Διδασκάλου διατριβήν.

Διάφορος. Συνυπακούεται ἐν τῷ γλώσσαις λαλεῖν, ἤτοι διαφόροις.

Διδάσκαλος. Τὸ Διδάσκαλος συνυπακȣ́εται τῇ Γενικῇ Πτώσει τȣ̃ Ὀνόματος τȣ̃ Μαθητȣ̃, ὡς δὴ καὶ τὸ υἱὸς τῇ γενικῇ τοῦ Ὀνόματος τȣ̃ πατρός. Ἀλέξανδρος ὁ Φιλίππȣ, δηλ. ὁ υἱὸς τȣ̃ Φιλίππȣ. Ἀπολλώνιος ὁ Ἀσκληπιάδȣ. δηλ. ὁ Διδάσκαλος τȣ̃ Ἀσκληπιάδȣ.

Προσέτι δὲ καὶ ἐν τῇ Ἐπιγραφῇ τῶν Βιβλίων. Σέξτȣ τȣ̃ Ἐμπειρικȣ̃ πρὸς τῶν Μαθηματικῶν, ἔνθα ἡ Φωνὴ Μαθηματικὸς, ȣ̓ ληπτέα ἐςὶν ἀντὶ τȣ̃ Γεωμέτρης, ἀλλ᾽ ἀντὶ τȣ̃ Μαθηματικὸς Διδάσκαλος. Ὅπερ ἐςὶ Κοινὸν καὶ Ποιηταῖς, καὶ Ῥήτορσι, καὶ Διαλεκτικοῖς, καὶ Μȣσικοῖς,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κοῖς, ϗ Ἀριθμητικοῖς, ϗ Γεωμέτραις, ϗ Ἀςρολόγοις, ϗ ἑνὶ λόγῳ πᾶσι τοῖς τὰς Ἐπιςήμας, ϗ τὰς Ἐλευθερίας Τέχνας διδάσκȣσι.

Διδόμενον. Κεῖται παρ' Αἰλιανῷ Ποικ. Ἱς. Βιβλ. ά. τὸ ἐξ αὐτȣ̃ δῶρον. ἐν τȣ́τῳ συνυπακȣςέον τὸ διδόμενον. ϗ ἐν τῷ, τὰ ἐκ Φιλίππȣ δῶρα. δηλ. διδόμενα. τὸν αὐτὸν ἂν τρόπον ἀναπληρωθείη, ὡς ἔγῶμαι, ϗ τὸ τȣ̃ Ἀποςόλȣ. πρὸς Κορινθίȣς β'. ά. ΙΙ'.

„Ἵνα ἐκ πολλῶν προσώπων τὸ εἰς ἡμᾶς χάρισμα, διὰ πολλῶν εὐχαριςηθῇ ὑπὲρ ἡμῶν. ἤτοι τὸ διδόμενον χάρισμα.

Διελθών. Ἐλλείπει ἐν τῷ δι' ἡμερῶν. ἤτοι διελθȣσῶν τινῶν ἡμερῶν.

„Καὶ πάλιν εἰσῆλθεν εἰς Καπερναȣ̀μ δι' ἡμερῶν. Μάρκος Εὐαγ. β'.

Δικαςήριον. Ἐν τῷ ἕλκεσθαι, ἢ καλεῖσθαι, ἢ καλεῖν. Ἀρις. Νεφ. ς'. 1000. Σφηκ. ςίχ. 1410. 1425. 1437. Ἐκκλ. ς'. 859.

Δικαςήριον, ἀντὶ τȣ̃ τόπȣ τῆς δίκης. Τὸ ἐν Παλλαδίῳ, τὸ ἐπὶ Δελφινίῳ, τὸ ἐπὶ Πρυτανείῳ, τὸ ἐν Φρεάττει. δηλ. δικαςήριον.

Δίκη. „Ἰθεῖα ἔσαι, δηλ. δίκη. Ὅμ. Ἰλ. ψ'.

„Δικάσαντες μίαν. δηλ. δίκην.

„Κρίνεσθαι τὴν ἐπὶ θανάτῳ.

„Φεύ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„ Φεύγειν φόνου, ἢ ἀσεβείας.

„ Ἐκπέφευγας ὦ λάβης τῦτ. δίκην. Ἀρισοφ. Σφηκ. 501.

Ἐρήμην, ἢ ἐξ ἐρήμης ἁλίσκεσθαι ἐπὶ τῶν ὑπευθύνων καὶ καταδικαζομένων ἐν τῷ ἀπεῖναι αὐτὰς τῦ δικαςηρίυ, καὶ τῶν δικαζόντων.

Συνυπακέεται ἐν τῷ ὄφλειν, καὶ τιμᾶσθαι. διώκειν.

„ Ἐὰν δὲ ὁ φεύγων ὄφλῃ. δηλ. δίκην. Πλάτων.

„ Τιμᾶσθαι, ἢ τιμᾶν τοσύτυ. δηλ. τὴν δίκην.

„ Διώκω σε φόνυ, ἢ κλοπῆς, συνυπακυςέον τὸ δίκην.

Δόμος. Ἐλλείπει ἐν τῷ ἡμέτερος. ἐν τῷ εἰς ἄϊδα, εἰς ᾅδου, εἰς ἄϊδος.

„ Ἤγαγεν ἡμέτερόνδε. δηλ. δόμον. Ὅμ. Ἰλ. ψ. 86.

„ Εἰς ἄϊδος Ἰλ. κ. ἔνθα παρασημειῦται ὁ Εὐςάθιος. ἔχει δὲ καὶ τὸ εἰς ἄϊδος ἔλλειψιν Ἀττικὴν τῦ δόμυ.

Δόξα. Ἐλλείπει ἐν τῷ κατάγε τὴν ἐμήν. δηλ. δόξαν.

Δορά. Συνυπακέεται. τῇ βοείῃ, παρδαλέῃ, λυκέῃ, λεοντέῃ, τραγείῃ, ἀλωπεκέῃ, ἀνθρωπείῃ, παρδαλῇ λυκῇ.

„ Τὰς δ' ἄτεροι σφάξαντε θοῶς δείραντε βοείας. Ὅμ. Ἰλ. σ. 432.

„ Αἰθίοπες δὲ παρδαλέας, καὶ λεοντέας

τέας ἀναμμένοι. Ἡρόδ. Βιβλ. ζ΄.

„ Παρδαλέην ὤμοισιν ἔχων. Ὅμηρ. Ἰλ. γ.

„ Ὅπȣ γὰρ ἡ λεοντὴ μὴ ἐφικνεῖται προσραπ7έον ἐκεῖ τὴν ἀλωπεκήν. Πλȣτ. ἐν Λυσάνδρῳ.

„ Ταὶ δὲ τραγεῖαι.

Ταὶ παρὰ τὶν ὄσδοντι κακώτερον, ἢ τύπερ ὄσδεις. Θεοκ. Εἰδυλ. έ.

„ Θρήϊκες δὲ ἐπὶ μὲν τῇ σι κεφαλῇσι ἀλωπεκέας ἔχοντες. Ἡρόδ. Βιβ. ζ΄.

Δȣ́λη. Τῆ σιτοποιός. Θεοφρ. Χαρ. Κεφ. δ΄.

Τῇ ὑδριαφόρος, διφροφόρος. Ἀριστοφ. Ἐκκλ. 729, 733.

Δȣ̃λοι. Ἐλλείπει ἐν τῷ μίσθιοι. Λουκᾶς ιέ. 17. 19. ἐν τῷ τȣ̃ Κυρίȣ ἐσμέν. πρὸς Ῥωμ. Κεφ. ιδ΄. 8. ἐν τῷ δήμιος, δημόσιος, ῥαβδȣ̃χος, ἀργυρώνη7ος, ἱπποκόμος, ὀρεωκόμος, σκιαδοφόρος.

Δρᾶμα. Ἐν τῷ Κωμικὸν, Τραγικὸν, Σατυρικόν. Αἰλ. Ποικ. Ἱστορ. β΄.

Δραχμαί. Συνυπακȣ́οιται, ταῖς χιλίαις, μυρίαις.

„ Παράσχȣ δέ μοι ἀσφάλειαν ἔς τ᾽ ἂν ἀποτίσω τὰς χιλίας. Τάτιος Ἀχιλλεύς. έ.

Καὶ πρέποντα ταῖς μυρίαις, ἃς χρὴ παρὰ βασιλέως ἀποφέρεσθαι. Λουκ. Εὐνȣ̃χος.

„ Ὠνεῖσθαι τρισχιλίων. δηλ. δραχμῶν.

„ Ἐπι-

„ Ἐπιβολὴν ψηφιεῖ μίαν μόνην, ἤτοι δραχμήν. Ἀρισοφ. Σφ. 766.

Δρόμος. Συνυπακέεται ἐν τῷ τὸν περὶ ψυχῆς τρέχειν. ἤτοι δρόμον. πάλιν δὲ ἀνακάμψω (ἐννόει τὸν δρόμον) πρὸς ὑμᾶς. Πράξ. ιή. 21.

Δύναμις. Ἐν τῷ ἣ ἔχει ποδῶν. καὶ ἐν τῷ ἰδίᾳ, καὶ δημοσίᾳ.

„ Ἰδίᾳ σθένων τὶς, ἢ τυραννεύων χθονός. Εὐριπ. Ἑλένη 5. 792.

Ἔνθα ζητεῖ ὁ Μενέλαος. πρότερον ἰδίᾳ δυνάμει, ἢ δημοσίᾳ πέπρακται τὸ πραχθέν.

Δυνατόν. Ἐλλείπει ἐν τῷ ἐκ ἔσιν.

„ Υ῾φ᾽ ἧς οὐκ ἔσιν ὅπως ἀγαπήσας τοῖς πεπραγμένοις ἡσυχίαν χήσειν. Δημ. Ὀλυνθ. ά.

„ Ἔσι δὲ ἐδέποτ᾽ οἶμαι μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν. ὁ αὐτὸς Ὀλυνθ. γ΄.

Μικρὰ πράττοντας. ἔνθα συνυπακεσέον τὸ δυνατόν.

„ Οὐ γάρ ἐσιν, ἐκ ἔσι τὲς αἰτῦντας παρὰ τῦ Θεῦ σωφροσύνην καὶ δικαιοσύνην καὶ πρᾳότητα καὶ χρησότητα, μὴ τυγχάνειν τῆς εὐχῆς. Χρυσόσ. περὶ Προσ.

Δύσις. Ἐν τῷ ἥλιος κλίνει, ἡμέρα κλίνει λείπει τὸ ἐπὶ Δύσιν, ἵνα ᾖ τὸ ὅλον, ὃ δὴ καὶ παρὰ Λεκιανῷ κεῖται ἐν τῷ, Ἔρωτες.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„ Ἤδη γὰρ ἐπὶ Δύσιν ἡλίου κλίνοντος.

**Δῶμα.** Ἐν τῷ βασίλειον, δηλ. δῶμα. βασίλεια, ὕψιστα, δώματα, ἢ οἰκήματα.

Κατὰ τὸ, Δόξα ἐν Ὑψίστοις Θεῷ. ἤτοι δώμασι.

Ἐν τῷ ἑαυτοῦ.

Ἐν τῷ ἅγιον.

Ἐν τῷ ἱερόν.

Ἐν τῷ Πραιτώριον.

**Δῶρον.** Ἐλλείπει ἐν τῷ ἱερόν.

„ Ἱερὸν γάρ ἐστι τοῦ πλούτου πάλαι. Ἀριστοφ. ἐν πλούτῳ ἔνθα προσυπακουστέον τὸ δῶρον, ἢ ἀνάθημα.

Καὶ ἐν τῷ ἀνακαλυπτήρια, γενέθλια, γαμήλια, διαπαρθένια.

Ξένια, ζωάγρια. ἤτοι δῶρα. ὃ κεῖται ἀνελλιπῶς παρ' Ἡροδότῳ.

„ Δῶρα ζωάγρια Κροίσου.

## Ε.

**Ἑαυτοῦ.** Προσυπακούεται ἐν τῷ ἀκρατής. ὃ δὴ εὑρήσεις ἀνελλιπῶς, ἑαυτοῦ ἀκρατὴς παρὰ Αἰλιανῷ. Ποικ. Ἱστορ. Βιβλ. β'.

**Ἑαυτόν.** Ἐν πολλοῖς Ῥήμασιν, οὐκ ἔχουσι μετάβασιν εἰς Αἰτιατικὴν Πτῶσιν.

Ἤγουν ἐν τῷ ἀποῤῥίπτειν, διδόναι, ἐπιδιδόναι, παραδιδόναι, ἀνακύπτειν, ἐπικύπτειν, ἐπιστρέφειν, ἀπάγειν, ὑπάγειν, κλίνειν, ἀνακάμπτειν, καὶ ἐν ἄλλοις.

„ Ἀπορ-

„ Ἀπορρίψαντες ἐνηχόμεθα. ἀντὶ τῦ ἀπορρίψαντες ἑαυτὺς τῆς νεώς. Αἰλιανὸς Ποικ. Ἱστορ.

„ Ἐκέλευσέ τε τὺς δυναμένυς κολυμβᾷν ἀπορρίψαντας πρώτους ἐπὶ τὴν γῆν ἐξιέναι. Πράξ. κζ'. 48.

„ Ὁ δ' ἡδονῇ δὺς. Εὐριπ. Φοιν.

Ἀντὶ τῦ ὁ δὲ ἡδονῇ δὺς ἑαυτὸν, ὥς φησιν ὁ Σχολιαστής.

„ Ἐπιδόντες ἐφερόμεθα. δηλ. ἑαυτούς. Πράξ. κζ'. 15.

„ Ὅταν δὲ παραδῷ (ἑαυτὸν) ὁ καρπὸς εὐθέως ἀποστέλλει τὸ δρέπανον. Μάρκος δ'.

„ Παρεδίδυ δὲ ... τῷ κρίνοντι δικαίως. Πέτρυ. ά. 23.

„ Καὶ λαβὼν τροφὴν ἐνίσχυσε. δηλ. ἑαυτόν. Πράξ. θ'. 19.

„ Συμμίσγειν τινί. δηλ. ἑαυτόν. Αἰλ. Ποικ. Ἱσ. γ'.

„ Διὰ ταύτης ἔλαθόν τινὲς ξενίσαντες Ἀγγέλυς. πρὸς Ἑβραίυς ιγ'. 2.

„ Ἔστρεψε δὲ ὁ Θεός. δηλ. ἑαυτόν. Πράξ. ζ'. 42.

„ Ἐμαθήτευσε τῷ Ἰησοῦ. ἑαυτόν. Ματθ. κζ'. 57.

„ Ἤρξατο καταναθεματίζειν. ἑαυτόν. Ματθ. κϛ'. 74.

„ Τῦ Διαβόλου ἤδη βεβληκότος εἰς τὴν καρδίαν Ἰύδα. Ἰωάν. ιγ'. 2.

„ Ο῾ δὲ κάρος εἰσφρῆσαι βουληθεὶς εἰς τὸ συμπόσιον. Ἰȣλι. Καίσαρος.

Α᾿ιτὶ τȣ̃ εἰσφρῆσαι ἑαυτὸν, ὅπερ ἀνελλιπὲς εὑρήσεις παρὰ Ζωσίμῳ.

„ Τῶν εἰσφρησάντων ἑαυτȣ̀ς τῇ βασιλείᾳ.

„ Ο῾ λέγων ἐν αὐτῷ μένειν. δηλ. ἑαυτὸν, καὶ ὁ λέγων ἐν τῷ φωτὶ εἶναι. Ἰωάν. ά. β'.

Ε῎δαφος. Λείπει ἐν τῷ λιθόστρωτον.

Ε῎θνος. Ε᾿ν τῷ Ε῾λληνικὸν, Περσικὸν, Βαρβαρικὸν, Πρόσοικον, καὶ τοῖς ὁμοίοις.

„ Καὶ τοῦ Ε῾λληνικοῦ ... ἐλπίδα. Θȣκ. Βιβλ. ά.

„ Α᾿ρμενίαν δὲ καὶ Πρόσοικα ... ταύτης κατεπολέμησε Λούκκουλος. Ἰουλ. Καίσ.

Ε῎θος. Συνυπακȣ́εται ἐν τῷ Ε῾λληνικὸν, Βαρβαρικὸν, Πάτριον, ἢ Πάτρια.

„ Εἴτις βȣ́λεται κατὰ τὰ Πάτρια, τῶν πάντων Βοιωτῶν ξυμμαχεῖν. Ε᾿νθα φησὶν ὁ Σχολιαστὴς λείπειν τὸ ἔθη. Θȣκιδ. ἐνίοτε πρόσκειται τὸ ἐστί.

„ Τὸ δὲ ἐστὶ τὸ καλῶς ὦ Σεβαστὲ, φράσον, ἐπεὶ τȣτόγε ἐστὶ (ἔθος)

„ Καὶ τοῖς πονηροτάτοις λέγειν. Ἰȣλιανȣ̃ Καίσ.

Εἶδος. Ε᾿ν τῷ φανταζόμενον. ἤτοι τὸ φανταζόμενον εἶδος.

Εἴδω-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Εἴδωλον. Αὐτίκα δ' ἐκ γαίης πλάσε κλυτὸς ἀμφιγυήεις παρθένῳ αἰδοίῃ ἴκελον .... ἔνθα λείπει τὸ Εἴδωλον, Ἡσι. Ἔργα 70.

Εἷς. Ἐνίοτε παραλείπεται τὸ εἷς. ὡς τὸ, ἐκ τῶν τριάκοντα ὤν, ἤτοι εἷς ἐκ τῶν τριάκοντα. Ξενοφῶν.

„ Ἦν γὰρ τῶν ἀγαθῶν ἀνδρῶν, ἤτοι εἷς ἐκ τῶν ἀγαθῶν. Αἰλ. Ποικ. Ἱς.

Ἕκαστος. „ Καὶ τόκον ἤνεγκαν Δημοσθένει δραχμὴν τȣ μηνὸς, τῆς μνᾶς: ἔνθα λείπει τὸ ἑκάστης. ἵνα ᾖ τὸ ἀφ' ἑκάστης μνᾶς. Αἰσχύνης κατὰ Κτησιφ.

Ὡσαύτως ἐν τῷ καθ' ἡμέραν δηλ. καθ' ἑκάστην ἡμέραν, ἐν τῷ κατ' ἔτος, κατὰ μῆνα. δηλ. ἕκαστον. κατ' οἶκον. Λȣκᾶς Πράξ. β'. 46. κατὰ πόλεις. Αἰλ. Ποικ. Ἱς. ϛ'. κατὰ Πόλιν καὶ Κώμην. Λȣκ. Εὐαγ. η'.

Ἐκεῖνος. Μετὰ τȣ ἰδίȣ Οὐσιαςικȣ πολλάκις παραλείπεται.

„ Ἀπέχοιλαί τε, ὧν ἂν αὐτὰς ἀπείρ-
„ γωσι. ἤτοι ἀπέχονται ἀπ' ἐκείνων
„ τῶν πραγμάτων, ἀφ' ὧν αὐτὰς ἀ-
„ πείργωσι. Ξενόφ. Κύρȣ Παιδ. α'.

„ Ἔμαθεν ἀφ' ὧν ἔπαθεν. πρὸς Ἑβραίȣς ἐ.

„ Ἐπελάθȣ τι, ὧν ἐβȣλȣ εἰπεῖν. Ξενοφ. Κύρȣ Παιδ. α'. 26.

„ Οὐ μνημονεύειν ὧν ἔφην. Λυκ. Ἑρμότ.

„ Ἐγὼ γὰρ ἔμαθον ἐν οἷς εἰμὶ αὐτάρκης εἶναι, ἤτοι ἐν ἐκείνοις τοῖς κτήμασιν ἐν οἷς. πρὸς Φιλιπ. δ. 11.

„ Τὰς ψυχὰς τῶν πεπελεκισμένων, καὶ (ἐκείνων) οἵτινες οὐ προσεκύνησαν τῷ Θηρίῳ. Ἀποκαλ. κ. 4.

Ἐκκλησία. „ Ἀσπάζεται ὑμᾶς ἡ ἐν Βαβυλῶνι συνεκλεκτή. ἤτοι ἐκκλησία. Πέτρ. ά. έ.

Ἔλαιον. „ Συνυπακούεται ἐν τῷ Λιμναίῳ καὶ Καρυΐνῳ.

„ Χρῶνται καὶ τῷ Σησάμῳ, καὶ τῷ Καρυΐνῳ δὲ χρῶνται, κρεῖσσον δὲ τὸ Λιμναῖον, δηλ. ἐλαίῳ. Φώτιος.

Ἐμαυτὸν σεαυτὸν ἑαυτόν. Συνυπακούονται ἐν τοῖς Μεταβατικοῖς Ῥήμασι.

„ Ἐν τούτῳ δὲ αὐτὸς ἀσκῶ. Πράξ. κδ΄. 16.

Ἐμβάδες. Ἐν τῷ Λακωνικαί, Περσικαί. Ἀριστοφ. Ἐκκλ. ς΄. 74. καὶ 345.

Ἔμβρυον. Λείπει ἐν τῷ ἔχειν ἐν γαστρί, συλλαμβάνειν ἐν γαστρί, φθείρειν τὸ κατὰ γαστρός, δηλονότι ἔμβρυον.

Ἐνδύματα. Ἐν τῷ ποικίλα. καὶ ποικίλα ἐνδύς. Λουκ. Τίμων.

Ἐνοχλοῦντα. Ἐν τῷ ἀποδιδόναι, ἀποβάλλειν, ἀποσκευάζεσθαι.

„ Λάρος ἐν ἕλεσι. Παροιμία ἐπὶ τῶν ταχὺ ἀποδιδόντων. Σουΐδας.

Εὐρί-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Εὑρίσκεται ἀνελλιπῶς παρ' Ἡρωδιανῷ Βιβ. δ'. ἀποσκευασάμενος τὰ ἐνοχλοῦντα.

Ἐξουσία, ἢ Δύναμις. Ἐν τῷ ἐστὶν, ἢ ἔξεστιν, ἐξεγένετο, περίεστι, δίδωμι, ἔνεστι.

„ Ἔξεστί μοι ἀπιέναι. ὡσεὶ ἔλεγεν ἔστι μοι ἐξουσία ἀπιέναι.

„ Περίεστι τοίνυν ἡμῖν ἀλλήλοις (ἐξουσία) ἐρίζειν. Δημ. Ὀλ. β'.

„ Ταῦτα οὐκ ἔνεστιν αὐτῷ εἰπεῖν. ὁ αὐτός.

„ Ἔνεστί σοι πρίασθαι. ἤτοι ἔστι σοι ἐξουσία. Λουκᾶς.

„ Ἐπειδὴ κἀμοὶ λόγου μεταδεδώκατε, ἤτοι ἐξουσίαν. Ἡλιο. Αἰθιοπ. α'.

„ Καὶ ἐδόθη αὐτῷ πόλεμον ποιῆσαι. Ἀποκαλ. ιγ'.

„ Καὶ τῷ καθημένῳ ἐπ' αὐτῷ ἐδόθη αὐτῷ (ἐξουσία) λαβεῖν τὴν εἰρήνην ἀπὸ τῆς γῆς. Ἀποκ. ϛ'.

„ Δός μοι πρὸς θεῖον μαλακοῦ χρωτὸς ψαῦσαι. ἤτοι δός μοι ἐξουσίαν ψαῦσαι. Ἰάσων πρὸς Μηδείαν.

Ἑορτή. Ἐν τῷ ἐν Διονυσίου, ἤτοι ἐν Ἑορτῇ Διονυσίου.

„ Οἱ δὲ ἐν Διονυσίου γελῶσι. Μάξιμος Τύριος λγ'.

Ἐπίσκοπος. Ἐν τοῖς Κυρίοις τῶν Ὀνομάτων. οἷον, Αὐξέντιος τοῦ Μεδιολάνου, ἤτοι Αὐξέντιος ὁ Ἐπίσκοπος Μεδιολάνου.

Ἐπιστολή. Παραλείπεται ἐν τῷ ἐπιστέλλειν, ἢ ἀποστέλλειν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ε῎πος. Ε᾿ν τῷ ὀνείδιον. ὀνειδίοις, ἤτοι ἔπεσιν ὀνειδίοις.

Ω῾ς καὶ ἐν τῷ μειλίχιον.

„ Πολλὰ δὲ μειλιχίοισι προσηύδα. δηλ. ἔπεσι. Ο῞μ. Ι᾿λ. π. 5. 431.

„ Καί μιν ἔπειτ᾿ ἐξ αὖτις ἀμείβετο μειλιχίοισι. Α᾿πολλώνιος. γ'.

„ Τοῖα δὲ μειδιόωσα προσένεπεν αἱμιλίοισι. Ο῾ αὐτὸς β'.

„ Αὐτίκα κερτομίοισι Δία Κρονίωνα προσηύδα. Ο῞μ. Ι᾿λ. δ'. 256.

„ Αὐτίκα δ' Εἰδομενῆα προσηύδα μειλιχίοισι. —

Εὕρηται καὶ παρὰ Παλυβίῳ. διὰ πλειόνων ποιήσασθαι μνήμην, καὶ διὰ βραχέων. δηλ. ἐπῶν.

Ε᾿ργαστήριον. Λείπει ἐν τῷ δημιουργῶν.

Ε᾿ς τῶν συλοδεψῶν. δηλ. ἐργαστήριον. Α᾿ριστοφ. Ε᾿κκλ. 420.

Ε῎ργον. Ε᾿ν πολλοῖς καὶ διαφόροις συνυπακουστέον τὸ ἔργον..οἷον, ποῖον ἔρεξας παρ' Ο῾μήρῳ. δηλ. ἔργον.

„ Οὐχ ὑμῶν ἐστὶ γνῶναι χρόνους. Λουκ. Πράξ. ά.

„ Καὶ ἐκεῖνο δὲ κυνὸς Αἰγυπτίου τὸ σοφόν. Αἰλ. Ποικ. Ι῾στορ. ά.

„ Κακῶν δὲ πρεσβεύεται τὸ λήμνιον. Λόγων .... λείπει τὸ ἔργον φησὶν ὁ Σχολιαστής. Αἰσχύλος Κεφ. 251.

„ Οὐκ ἔστιν ἐμόν. Ματθ. κ'.

„ Οὐ

„ Οὐ τῦ θέλοντος ὐδὲ τῦ τρέχοντος, ἀλλὰ τῦ Θεῦ ἐλεῦντος. πρὸς Ρ'ωμ. θ'.

„ Οὐ γὰρ πάντων ἡ πίςις. δηλ. ἔργον. πρὸς Θεσ. γ'.

„ Α'πρακτα, ϗ ἀνήνυτα μοχθῦμεν. Α'λκίφρων Ε'πις. ά. ὡσαύτως ἔνδοξα ἀρεςά. δηλ. ἔργα.

Ε'ρέτης. Συνυπακύεται τῷ ζύγιος, ϗ θαλάμιος.

„ Θαλάμιος λέγεται ὁ ἔχατος, ὁ δὲ μέσος ζύγιος, ὁ δὲ ἀνώτατος θρανίτης. Η'σύχιος.

Καὶ ἐν τῷ πάραλοι. ὅρα τὸν Σχολιαςὴν Α'ρις. ἐν Βατρ. 5. 1103.

Ε'ριον. Παραλείπεται ἐνίοτε ἐν τῷ ξένειν, ϗ καταξαίνειν. Α'ρισοφ. Ε'κκλ. 5. 89. ϗ 92. 93.

Ε'ρχόμενος. „ Καὶ ἀπὸ ἀγορᾶς (ἐρχόμενοι δηλ.) ἐὰν μὴ βαπτίζωνται ὐκ ἐσθίυσι. Μάρκος ζ'.

„ Βαπτιζόμενος ἀπὸ νεκρῦ. Σειράχ. λδ'.

„ Περιῤῥανάμενος ἀπὸ ἱερῶν. Θεοφρ. Χαρακ. ις'.

Ε'ρως. Ε'ν τῷ κνίζομαι, ἁλίσκομαι.

„ Κατακέκνισμαι δειλάκρα. δηλ. ἔρωτι. Α'ρισοφ. Πλ. 974.

„ Ε'ρως ἔκνιζε τὰς φρένας. Πίνδαρος Πυθ. Ω'δῇ δ'. 94.

Ε'σθής. Παραλείπεται ἐν τῷ ἀλυργὶς, πορφυρὶς,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φυρὶς, χρυσὶς, ἀνασυράμενος.

„ Ἀνασυραμένη ( τὴν ἐσθῆτα δηλ. ) καὶ ἐπιδείξασα αὐτοῖς τὴν κοιλίαν. Πλύταρ. Ἀποφθ. Λακωνικά.

„ Εἰ μὴ ἀνασυράμενος δείξειε, πότερον ἀνὴρ ἢ γυνὴ ἐςί. Διογένης Λαέρτιος, ἐν Διογένει ς΄. καὶ Ἰπ. ς΄.

„ Ὁ δὲ βδελυρὸς τοιῦτος, οἷος ὑπαντήσας γυναιξὶν ἐλευθέραις ἀνασυράμενος δεῖξαι τὸ αἰδοῖον. Θεοφρ. Χαρακ. Κεφ. β΄.

„ Ἀνασυράμενος τὴν περιβολὴν, καὶ σχηματίσας ἑαυτὸν ὡς αἴσχιςον ὀφθῆναι. ( τὰς ἐσθῆτας ) Διον. Ἁλικ. ἐν Πρεσβ. δ΄.

„ Περιῤῥηξάμενος δὲ τύπτεσθαι τά τε ςήθη καὶ τὰ πρόσωπα, ὡς Ἀῤῥιανός.

Εὑρήσεις δὲ τῦτο ἀνελλιπῶς καὶ τὸν Ὀρφέα παρὰ Κλίμεντι τῷ Ἀλεξανδρεῖ.

„ Ὡς εἰπῦσα πέπλυς ἀνεσύρατο.

Ἔτη. Ἐν τῷ τόσα, καὶ πόσα καὶ τοῖς ὁμοίοις.

„ Πόσα, δηλ. ἔτη γέγονας;

„ Ὀκτωκαίδεκα γεγονώς. Πολύβ. Βιβλ. ιβ΄.

„ Ἐν ὥρᾳ. ἤτοι ἐν ὥρᾳ ἔτους.

Εὐδαίμων. Λείπει παρὰ Θεόγνιδι.

„ Χρήματα δ᾽ ὧ διόθεν, καὶ σὺν δίκῃ ἀνδρὶ γένηται.

Καὶ καθαρῶς. ἀεὶ γὰρ μόνιμον πέλει. Θεόγ. 5. 197.

Ἵνα

Γ'να ἦ. ὦ ἀνδρὶ δίωθεν χρήματα ϗ σὺν δίκη, ϗ καθαρῶς γένηται, εὐδαίμων ἐςί.

Εὐεργέτημα. „ Μηδὲ ταῖς κακαῖς ἑτέραις τὸν γε τρόπον προσεοικέναι,

„ αἳ μόνον μνήμην ἔχουσι τῶν τελευταίων ἀεί. λείπει τὸ εὐεργετημάτων.

Ε'χθρα. Ε'ν τῷ διαλύεσθαι πρός τινα, ἢ καταλύεσθαι προσυπακουστέον τὸ ἔχθραν, ἢ ἔχθρας. ὃ πολλάκις παρά τισιν εὑρίσκεται ἀνελλιπῶς.

„ Τῶν διαλυομένων τὰς ἔχθρας. Πολύαινος Βιβλ. γ'.

„ Μήτε προκαταλύσασθαι τὴν ἔχθραν. Διον. Α'λικ. Βιβλ. έ.

„ Α'ν βουληθῶσι καταλύσασθαι τὴν ἔχθραν, ὁ αὐτός.

Ω'σαύτως ϗ ἐν τῷ καταλλάσσεσθαι.

„ Καταλλάσσετο τὴν ἔχθρην τοῖσι στασιώτησι. Η'ρόδ. Βιβλ. ά.

Ε'χων. Πολλὴ ἡ τούτου Ε'λλειψις παρὰ Λουκιανῷ.

„ Ο' τὴν κιθάραν. δηλ. ἔχων. ἐν τῷ Δραπέταις.

„ Ο' τὰ ῥάκια τὰ πιναρά.

„ Ο' τὴν σύριγγα.

„ Ο' τὸ πολὺ οὐκ ἐπλεόνασε, ϗ ὁ τὸ ὀλίγον οὐκ ἠλαττώνησε β'. Κορινθ. ή.

Ζεύς,

# Z.

Ζεὺς, ὁ Θεός. Συνυπακούεται. τῷ ὕει. νίφει. βροντᾷ. ἀστράπτει.

Ζῶα. Τοῖς ἑρπετὰ, πτηνὰ, πετεινὰ, χερσαῖα, ἀμφίβια, ἐνάλια, βληχητὰ, βοτὰ, παρὰ Ἀριστοφάνει Νεφ. ς. 1429. καὶ τῷ ὑποζυγίῳ. ἀντὶ ἐπιθέτου λαμβανομένῳ.

„ Πρὶν πειραθείης ὥσπερ ὑποζυγίου. δηλ. ζώου παρὰ Θεόγνιδι.

# H.

Ἦθος. Ἐν τῷ μανικὸν, τεθηριωμένον, πρόθυμον, ἥμερον, φιλάνθρωπον.

„ Ἀλλὰ καὶ τὸ τῶν οἰκετέρων. ἥμερον καὶ πρᾶον. Αἰλ. Ποικ. Ἱσ. θ'.

Ἡλικία. Ἐν τῷ νέᾳ, καὶ νηπιέη.

„ Ὡς τὸ ἀρετὴν ἐκ ναίας ἄσκει. δηλ. ἡλικίας.

„ Ἐν νηπιέῃ ἀλεγεινῇ. Ἰλ. ά. ς. 487. ὅπου φησὶν ὁ Εὐστάθιος, ἡ παιδικὴ ἡλικία, ἡ ἀνατροφὴ κατ' ἔλλειψιν.

„ Κάλει τὸν Ὀρθαγόραν, ὅπως
„ σαυτῆς κατόναιο ἀντιβολῶσε. Ἀριστοφ. Ἐκκλ. 912.

Ἥλιος. Ἐν τῷ αὐγῇ.

„ Δεικνύναι τινὶ ἱμάτιον ὑπ' αὐγάς. ὁ αὐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁ αὐτὸς Θεσμοφ. 5. 507. δηλ. ὑπ' αὐγὰς ἡλίȣ.

Ἡμεῖς. „Ἐν τῷ ἐξελθόντες οἱ περὶ τὸν Παῦλον ἤλθομεν, λείπει τὸ ἡμεῖς. Πράξ. Κεφ. κά.

„Οἱ πολλοὶ (ἡμεῖς) ἓν σῶμα ἐσμέν. πρὸς Ῥωμαίȣς ιβ.

Ἡμέρα. Συνυπακȣστέον τὸ ἡμέρα. ἐν τῷ μία, δευτέρα, τρίτη.

„Ἐκδικάσας μίαν. Ἀριστοφ. Ἱπ. 29.

Ἔνθα φησὶν ὁ Σχολιαστὴς, λείπει ἡμέραν.

„Πρὸ μιᾶς τοῦ θεσπίζειν. Λουκ. Ψευδόμ.

„Ἧκεν εἰς τρίτην. Ἀριστίδης.

Θωμᾶς Μάγιστρος φησὶ οὐ λέγουσιν οἱ Ἀττικοὶ εἰς τρίτην ἡμέραν ἀλλ' εἰς τρίτην μόνον.

Καὶ ἐν τῷ ἑβδόμῃ.

„Εἴρηκε γάρ που περὶ τῆς ἑβδόμης ȣ̈τω. πρὸς Ἑβραίȣς. Κεφ. δ'.

Καὶ ἐν τῷ δεκάτῃ.

„Εἰς δεκάτην γάρ ποτε παιδαρίου κληθεὶς. Ἀριστοφ. Ὀρν. ς. 388.

„Οὐκ ἄρτι θύω τὴν δεκάτην ταύτην ἐγώ. ὁ αὐτὸς 585.

Καὶ ἐν τῷ ἐπιοῦσα, ἐχομένη, ὑστεραία, προτεραῖα, κατόπιν, αὔριον, σήμερον, νῦν, γενέθλιος, ἢ γενεθλιακή.

„Τὴν Σωκράτȣς ἀγαγόντες γενέθλιον, δηλ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δηλ. ἡμέραν. Πλούταρχος Συμπ. ή.

Καὶ ἐν τῷ ῥητῇ, κυρίᾳ.

„ Ῥητήν τινὰ προειπεῖν. Λουκ. Ψευδόμ.

„ Ἡκούσης δὲ τῆς κυρίας. Ἀχιλ. Τάτιος ή.

„ Καὶ ἐν τῷ πεπρωμένῃ, καὶ ἀγοραίῳ.

„ Διοικήσεις ἐν αἷς τὰς ἀγοραίους ποιοῦνται. Στράτων Βιβλ. δ'.

„ Εἰ μὲν πρός τινα λόγον ἔχουσι ἀγόραιοι ἄγονται. Πράξ. ιθ'.

Ἀγόραιος δὲ ἡμέρα λέγεται, ἐν ᾗ δικάζονται.

Καὶ ἐν τῷ ἕνῃ καὶ νέᾳ, δεκάτῃ φθίνοντος, ἐννάτῃ φθίνοντος, καὶ τοῖς ὁμοίοις ἐν οἷς παρείλειπται τὸ ἡμέρα.

Ἡνίαι. Ἐν τῷ παρηορίαι.

„ Ἐν δὲ παρηορίῃσιν ἀμύνονα πήδασον ἵει. Φησὶ δὲ ὁ Σχολιαστὴς ταῖς ἔξω τοῦ ζυγοῦ ἡνίαις. Ἰλ. π. 51. 152.

## Θ.

Θάλασσα. Ἀντὶ τούτου λαμβάνεται τὸ ὑγρὴ, ἢ ὑγρά.

„ Πολλὴν ἐφ' ὑγρήν. Ἰλ. κ'. 27.

„ Πολλὰ μὲν ἐν γῇ, πολλὰ δὲ ἐφ' ὑγρᾷ. Ἀριστοφ. Σφη.

„ Ὑγρὴ νεκρός. Καλλίμαχος.

„ Κύρβιας, οἷς ἐνὶ πᾶσαι ὁδοὶ καὶ πεῖρα τ' ἔασιν

„ ὑγρῆς τε τραφερῆς τε. Ἀπολλ. δ′. 280.

Θάνατος. Ἡνίκα τὸ κὴρ, ἢ κῆρες ἀντὶ τῶν τοῦ θανάτου λαμβάνονται προσυπακουστέον τὸ θανάτου, ἵνα ᾖ. κὴρ, ἢ κῆρες θανάτου.

„ Κῆρες ἄγον μέλανος θανάτοιο. Ἰλ. ά.

Ἔνθα φησὶν ὁ Εὐστάθιος. ἢ πρὸς ἐντέλειαν φράσεως εἴρηται, ἄλλως γὰρ ἡ κὴρ ἐλλιπῶς ἔχει μονάζουσα, ἢ καὶ πρὸς διαστολήν. Εἰσὶ γὰρ κῆρες νόσου, καὶ ἑτέρων κακῶν.

Θάτερον. Λείπει ἐν τῷ δυοῖν Ἀττικῶς.

„ Δυοῖν ... ἢ κακῶσαι ἡμᾶς, ἢ σφᾶς αὐτοὺς βεβαιῶσθαι. Θουκ. ά. ἀντὶ τοῦ δυοῖν θάτερον.

Θεὸς, ἢ Θεά. Λείπει ἐν τῷ μὰ τὸν, ἢ μὰ τήν.

„ Μὰ τὸν, ἐγὼ μὲν οὐδ' ἂν εἴτις ἐλεγέ μοι. Ἀριστοφ. Βατρ. ἔνθα φησὶν ὁ Σχολιαστὴς ἐλλειπτικῶς ὀμνύει. καὶ οὕτως ἔθος ἐστὶ τοῖς ἀρχαίοις, ἐνίοτε μὴ προστιθέναι τὸν Θεὸν εὐλαβείας χάριν.

Θήρ. „ Καὶ τότε δὴ κεραοὶ, καὶ νήκεροι ὑληκοῖται, λυγρὸν μυλιόωντες ἀνὰ δρυὰ βησσήεντα φεύγουσιν. Ἡσιόδ. Ἔργ. β′. ἀντὶ τοῦ κεραοὶ καὶ νήκεροι θῆρες.

Θηρίον. Λείπει ἐν τῷ ἑρπετὸν, δάκετον, ἰοβόλον.

„ ...... ὅσα ἐπὶ γαῖαν.

Ἑρπε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„ Ἑρπετὰ γίνονται, κ὚ ὕδωρ κ὚ θεσπιαδὲς Πῦρ. Ὅμ. Ὀδυσ. δ΄. 218.

„ ἑρπετά τε καὶ δάκεθ᾽ ὁπόσα περ ἂν ἐςιν, ὑπ᾽ ἐμᾶς πτέρυγος, ἐν φοναῖς ὄλλυται. Ἀριςοφ. Ὄρν. 1009.

Θόρος. ἐν τῷ ἀποῤῥαίνειν. παρὰ Ἀριςοτέλει ἐν τῷ περὶ Γενέσεως Ζώων. γ΄.

Θρίξ. Ἐν τῷ πολιὴ, ἢ πολιά.

Θυγάτηρ. Συνυπακούεται ἔν τισι.

„ Ἡ δὲ ἁγνὴ κόρης τῆς Δήμητρος (τουτέστι θυγατρὸς τῆς Δήμητρος) ἐςὶν ἐπίκλησις. Παυσανίας.

„ Ἰοῦν τὴν Ἰνάχου. δηλ. Θυγατέρα. Ἡροδ. ά.

Θῦμα. Ἐν τῷ ἱλαςήριον, χαριςήριον, ἐτήσιον, γενέθλιον, ἐπινίκιον, σωτήριον, μειλήχιον, ἐπιμήνιον, ἐξιτήριον, διαβατήριον, ὑπερβατήριον.

„ Ὃν προέθετο ὁ Θεὸς ἱλαςήριον. πρὸς Ῥωμ. γ΄. 25.

„ Χαριςήρια θύειν. Αἰλ. Π. Ἱς. ιβ΄.

Θυμὸς ὃ σημαίνει τὸν νοῦν. Ἡ Γενικὴ τούτου παραλείπεται, ἐν τῷ ἀπὸ κρατίςου, ἀπὸ τοῦ βελτίςου, ἀπὸ τοῦ διακειμένου, ἀπὸ τοῦ δολεροῦ.

„ Οὐκ ἀπὸ τοῦ βελτίςου πρὸς τὰ κοινὰ προσέρχονται. Πλάτων Ἐπιςολῇ θ΄.

„ Ἀπ᾽ οὐδενὸς δολεροῦ νόου. ἤτοι θυμοῦ.

Θύρα. Ἐλλείπει Ἀττικῶς, ἐν τῷ αὔλειος, μέταυ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μέταυλος, παράθυρος, καγκελωτή.

„ Τήν τε αὔλειον ἀποκλείειν. Λουκιανὸς Τόξαρι.

„ Τῆς αὐλείας παρακύπτουσι. Ἀριστοφ. Ἐκκλ. 420.

„ Τὴν αὐλείαν ἀπόκλαξον. Θεοκρ. Εἴδυλ. ιέ.

„ Δέδια μὴ δοκῶμεν τῇ αὐλείᾳ τὸν τύφον ἀποκλείοντες εἰσάγειν τῇ παραθύρῳ. Πλουτ. Συμποσ. ά.

Θύραι. Ἐν τῷ δρύφακτοι.

Θυρίδια. Ἐν τῷ δρύφακτα. εἰσὶ δὲ δρύφακτοι αἱ τοῦ δικαστηρίου θύραι ἢ κάγκελοι κατὰ τὸν Ἡσύχιον.

Θυρίς. Ἐν τῷ ἐγκύψαι. δηλ. ἐκ τῆς θυρίδος. Ἀριστοφ. Θεσμοφ. 797.

Θυσία. Ὥς περ τὸ θῦμα παραλείπεται ἐν τῷ χαριστήριον. οὕτω καὶ ἡ θυσία ἐν τῷ χαριστήριος, ἐν τῷ προσφέρειν, ἐπιτελεῖν, ποιεῖν.

„ Θυσίας χαριστηρίους εὑρήσεις ἀνελλιπῶς, παρὰ Διον. Ἁλικαρ.

„ Περὶ ἁμαρτίας, ἤτοι θυσίαν περὶ ἁμαρτίας. Παῦλος πρὸς Ῥωμ. ή.

„ Καὶ διὰ ταύτην ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν. πρὸς Ἑβραίους έ.

„ Προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου. Λουκᾶς έ. 14.

„ Τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ ἠθισμένον



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ιον τȣ̃ νόμȣ περὶ αὐτȣ̃ β΄. 27.

„ Καὶ καθ᾽ ἕκαςον ἔτος ἐπετέλȣν αὐ-τῷ. Αἰλιανὸς Ποικ. Ἱςορ. ιβ΄.

Προσέτι προσυπακȣ́εται ἐν τῷ εἰρηνικαί. Βασιλ. ά. ιέ.

„ Σαμȣὴλ τὰς εἰρηνικὰς, ἤγȣν θυσίας. Μέγας Βασίλειος ἐν τῇ Λειτȣργίᾳ.

# Ι.

Ἴδιος. Ἐν τῷ κατὰ καιρόν.

„ Ἄγγελος κυρίȣ κατὰ καιρὸν, ἤγȣν ἴδιον κατέβαινε. Ἰωάν. Εὐαγ. έ.

Ἰδίωμα. Ἐν τῷ ἀμετάθετον.

Ἱερά. Ἐν τῷ ῥέζειν, κατάρχεσθαι.

„ Ἄλλος δ᾽ ἄλλῳ ἔρεξε Θεῶν ἀειγενετάων. Ὅμ. Ἰλι. β΄. 400.

Ἔνθα λείπει τὸ ἱερά. κεῖται δὲ παρὰ τῷ αὐτῷ καὶ ἀνελλιπῶς.

„ Ὄφρ᾽ ἡμῖν ἑκάεργον ἱλάσσεαι ἱερὰ ῥέξας. Ἰλ. ά. 147. ἐν δὲ τῷ κατάρχεσθαι, ἢ κατάρξασθαι συμβαίνει τȣ́τȣ ἡ ἔλλειψις ἡνίκα τὰ ῥήματα ταῦτα σημαίνει τὸ κείρειν τὰς μετωπιδίȣς τρίχας τȣ̃ ἱερίȣ, καὶ ὡς πρώτην σπονδὴν ῥίπτειν ἐπὶ τῷ ἐν τῷ βωμῷ πυρί. ὡς λαμβάνεται παρ᾽ Ἀριςοφάνει, Ὄρν. ς΄. 960. καὶ παρ᾽ Εὐριπίδῃ ἐν τῇ Ἠλέκτρᾳ 5. 800. ἢ ἀντὶ τȣ̃ ῥαντίζειν τὸ ἱερίον καθαρσίῳ ὕδατι, ὡς παρ᾽ Εὐριπίδῃ

Ἰφιγ-

Ἰφιγ. 40. καὶ 56. ἐξ ὧν συνάγεται τὸ κατάρξαϑαι σημαίνειν ἁπλῶς τὸ ἀρχὴν ποιεῖσθαι τῆς θυσίας· οἷον κατάρξαθαι ἱερῶν, ἢ κατάρξαθαι τῆς σφαγῆς τοῦ ἱερίου.

Ἱερὸν, ἢ Ναός. Τὸ τῆς Ἀφροδίτης, ἢ Ἀθηνᾶς, ἢ Δήμητρος καὶ τῶν ὁμοίων λείπει τὸ ἱερόν. ἔτι δὲ καὶ ἐν τῷ Μουσεῖον, καὶ Δελφίνιον.

Ἱμάς. Ἐν τῷ κεστός. Ἴδε Ἡσύχιον ἐν τῷ κεστὸν ἱμάντα, ὅπερ φησὶ Δίων Χρυσός.

Ἱμάτιον. Συνυπακούεται τῷ ἐπιβάλλειν, καὶ περιβάλλειν.

„ Καὶ ἐπιβαλὼν ἔκλαιε. Μάρκος ιδ'. 72.

„ Καὶ περιέβαλεν ἐπὶ τὸ πρόσωπον αὐτοῦ. Βασίλ. ή. 15.

„ Ἐγὼ μὲν ἐπιβαλὼν φάρη κόραις ἐμαῖσι. Εὐριπ. Ἠλέκ. 1221.

„ Ὅταν ἐπιβαλλόμενος ἐπὶ τῆς πέτρας τὴν χλαμύδα καθεύδη. Λουκ. Διάλ. Πληθυντικῶς δὲ τὰ ἱμάτια συνυπακούεται ἔν τισιν ἐπιθέτοις· οἷον, εἰπεῖν· φορεῖ λευκὰ, μέλανα, πένθιμα, ποικίλα, ἄνθιμα, μαλακὰ, ἁλουργῆ, καὶ τὰ παραπλήσια.

„ Διὰ τὸ τοὺς ἀποθανόντας ἐν λευκοῖς ἐκφέρεσθαι. Ἀρτεμ. Ὀνειροκ. β'.

„ Ἀγγέλους ἐν λευκοῖς καθεζομένους. Ἰωάν. κ'. 12.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„ Κατεπένθησεν ἐν πενθικοῖς. Ἔξοδ. λγ΄.

„ Ἔχουσα δὲ ἦλθες ποικίλα. Ἀριστοφ. ἐν Πλούτῳ. ἔνθα φησὶν ὁ Σχολιαστὴς, λείπει τὸ ἱμάτια.

„ Ἰδοὺ οἱ τὰ μαλακὰ φοροῦντες. Ματθ. ιά. 8.

Ἵππος. Λείπει ἐν τῷ κοππατίας, σαμφόρας, ζύγιος, κενταυρίδης, καππoφόρος, ἐλαύνειν, ἐξελαύνειν, καὶ ἄλλοις.

„ Ὅτ' ἐπριάμην τὸν κοππατίαν. Ἀριστοφ. Νεφ.

„ Οὔτ' αὐτὸς, οὔθ' ὁ ζύγιος, οὔθ' ὁ σαμφόρας. Ὁ αὐτὸς Νεφ.

Ἱστίον. Ἐν τῷ ὑφίεσθαι.

„ Νῦν δ' ἐν κακοῖς μοι πλεῖν ὑφειμένη δοκεῖ. Σοφ. Ἠλ. 336. ὑφειμένη, μὴ ὅλον τὸ ἱστίον ἀναπετασάση, ἀντὶ τοῦ δοκεῖ μοι ταπεινῶς λέγειν καὶ ὑπηκόως. μεταφορικῶς δὲ λέγεται ἀπὸ τῶν πλεόντων, οἳ πρὸς τὴν βίαν τῶν ἀνέμων ὑφιᾶσι τῶν ἱστίων.

Ἰσχάς. Ἐν τῷ καρικῇ. παλάθας τῶν καρικῶν παρὰ Λουκιανῷ.

Ἰχθύς. Ἐν τῷ βούγλωσσος, μελάνουρος, κέρκουρος, ἵππουρος, ἑψητὸς, ταγηνιστὸς, καὶ τοῖς ὁμοίοις.

„ Παιδίον δ' εἰσῆλθεν ἑψητοὺς φέρον, δηλ. ἰχθύας. Ἀθηναῖος ζ΄.

„ Τοῖς ἑψητοῖσι ἰχθυδίοις φησὶν ὁ Σχο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Σχολιαστής. Ἀριστοφ. Σφηκ. 1677.

# K.

Καιρός. Ἐν δέοντι, οὐκ ἐν δέοντι, ἐν τῷ παρόντι, ἐν δὲ τούτῳ συνυπακουστέον, τῷ καιρῷ.

„Ἕως ἂν ἥξῃ (ὁ καιρὸς δηλ.) ὅτε εἴπητε. Λουκᾶς ιγ΄. 35.

„Περὶ ὧν οὐκ ἔστι νῦν (καιρὸς ἢ τόπος.) λέγειν. πρὸς Ἑβραίους θ΄. 5.

„Ὡς ἑκάστοις προυχώρει, ὁ καιρὸς δηλ. ἢ ἡ εὐκαιρία. Ἀῤῥιανός α΄.

Κακόν. Προσυπακούεται ἐν τῷ πάσχειν, ἀπαυρεῖν, καὶ ἐπαυρεῖν.

„Τοσαῦτα (κακὰ δηλ.) ἐπάθετε. πρὸς Γαλάτ. γ΄.

„Ἐφ᾽ οἷς γὰρ αὐτοὶ πάσχοντες ἠγανάκτουν. Σοφ. ιβ΄. 27.

„Ἐπαυρεῖν βασιλέως ἀνδρός, ἀντὶ τοῦ ἐπαυρεῖν κακὸν ἕνεκα βασιλέως.

„Ἐπαυρεῖν κακοῤῥαφίας, ἀντὶ τοῦ ἐπαυρεῖν κακὸν ἐκ κακοῤῥαφίας. ὃ δὴ ἀνελλιπῶς κεῖται παρ᾽ Ὁμήρῳ. Ὀδ. ς΄. 106.

„Μήπου τι κακὸν μὲν μεῖζον ἐπαύρῃ.

Κάλυμμα. Λείπει ἐν τῷ κατὰ κεφαλῆς ἔχειν.

„Πᾶς ἀνὴρ προσευχόμενος..... κατὰ κεφαλῆς ἔχων. πρὸς Κορ. α΄. ια.

Καρπός. Ἐν τῷ προβάλλειν κὶ ποιεῖν.

„ Ὅταν προβάλλωσιν ἤδη. Λουκᾶς κά. 30.

„ Ποιεῖν. καρπὸν δηλ. Ματθ. ιγ΄. 23.

Καταβολή. „ Ἐτείχισαν τὴν πόλιν ἐκ καινῆς. Θυκιδ. ά. 92.

Ὅ ἐςὶ ἐκ καινῆς καταβολῆς, ἢ κρηπίδος.

„ Καὶ πολλὰ μὲν ᾠκοδομηκὼς ἐκ καινῆς. Ξιφιλίνος.

Κέρασμα. Ἐν τῷ ἄκρατον.

Κεφαλή. Ἐν τῷ ἀλγέω τὴν. ἐν τῷ ἀποτέμνεθαι, ἐγκαλύπτεθαι. ἀλγέω τὴν, διὰ παντὸς ἔπος τόδε πικρόν. Καλλίμαχος Ἐπιγ. 34. ἀκύων

Κιθάρα. Ἐν τῷ Ἀσιάς. ὡς παρ᾽ Ἀριςοφάνει, Θεσμοφ. ς΄. 126.

„ Κρȣ́ματάτ᾽ Ἀσιάδος.

„ Ἀσιάδος ȣ̓κ ἂν ἥδιον ψόφον.

„ Κιθάρας κλύοιμεν. Εὐριπ. Κύκλωψ. 442.

Κίνδυνος. Ἐν τῷ τρέχειν τὸν περὶ ψυχῆς. δηλ. κίνδυνον. εὑρίσκεται δὲ ἄνευ ἐλλείψεως παρ᾽ Ἰσοκράτει, τὸν περὶ ψυχῆς τρέχων κίνδυνον.

Κίρκος, ἢ Κρίκος ἢ Κόσμος. Ἐν τῷ δακτύλιος.

Κλῆρος. Ἐν τῷ ἔλαχε. ἔλαχε (κλῆρον) τῷ θυμιάσαι. Λȣκᾶς.

Κλίνη. Ἐν τῷ ςρωννύω.

„ Στρῶ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„ Στρῶσον σεαυτῷ. Πράξ. θ'. 34.

Κόγχη. Ἐν τῷ πελωρίς. παρὰ Ἀλκίφρονι. Ἐπις. α'. 2.

Ἀνελλιπῶς δὲ εὑρίσκεται, παρὰ Κλήμεντι Ἀλεξ. καὶ Ἀθηναίῳ.

Κοιλία. Ἐν τῷ ἡ ἄνω, ἡ κάτω.

Φαρμακεύειν θέρευς μὲν μᾶλλον τὰς ἄνω, χειμῶνος δὲ τὰς κάτω.

Κοινόν. Ἐν τῷ τὶ ἐμοὶ καὶ σοὶ, ἐν τῷ τὶ ἐμοὶ καὶ ἐκείνῳ.

„ Μηδὲν σοι καὶ τῷ δικαίῳ ἐκείνῳ. Ματθ. κζ'. 19.

Κόλπος. Ἐν τῷ σῷ, ἐκ τοῦ σοῦ, ἐκ τῶν σῶν.

„ Εἴ μ' οὗτος ἐκ τῶν σῶν ἀπάξεται βίᾳ, ἤτοι κόλπων. Σοφοκλῆς Φιλοκ. 984.

„ Ὁ ἀδρίας. Πράξ. κζ'. 27.

Κόρδαξ. Ἐν μὲν οὖν τουτὶ μ' ἔασον ἑλκύσαι καὶ μηκέτι. ἀντὶ τοῦ ἑλκύσαι κόρδακα. Ἀριςοφ. Εἰρην. 327.

Ὅπερ τίθησι ἄνευ ἐλλείψεως ὁ αὐτὸς ἐν Νεφ. 540.

Κόρη. Ἐν τῷ παρθενικὴ, παρθένος, ἀταύρωτος, ἀταυρώτης θήλεια, θυλητέρη.

„ Καὶ παρθενικαὶ, νεοθηλέες, οἷά τε νεβροί. Διον. Περιηγ. 843.

„ Ὅσον διὰ κάλλια ἀγειρομένων παρθενικάων. Μουσαῖος 54.

„ Θήλειαι κόραι.

Ἀταρώτη δὲ λέγεται, ἡ οὔπω πειραθεῖσα ἀνδρός.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Κόσμημα. Ἐν τῷ περιτραχήλιον, ἐντάφιον.

„ Ἴθμιον. περιτραχήλιον κόσμημα, φησὶν ὁ Ἡσύχιος.

Κρέας. Ἐν τῷ εἰδωλόθυτον, βόειον, ὕειον.

„ Ἡ συνείδησις αὐτοῦ οἰκοδομηθήσεται ἐν τῷ ἐσθίειν τὰ εἰδωλόθυτα. πρὸς Κορ. ά. 9.

„ Ἐχορτάσθησαν ὑείων, καὶ ἀφῆκαν τὰ κατάλοιπα. Ψαλμ. τὸ δὲ ὑῶν κεῖται ἐν τοῖς ἀντιγράφοις κατὰ παραφθοράν.

„ Ἀλλ' οὐ λαγῷ ἕξεις ὁπόθεν δῷς, ὡς ἐγώ. ἀντὶ τοῦ λαγῶα κρέα. Ἀριστοφ. Ἱπ. 1190.

Ὀπτᾶτε τὰ ἐγχέλεια. Ἀριστοφ. Ἐκκλ. 838.

Εἰς τὸ ἐγχέλεια, λείπει τὸ κρέα φησὶν ὁ Σχολιαστής.

Κριθαί. Σὺ δ' ἀχιλλείων ἀπομάττει. δηλ. κριθῶν. Ἀριστοφ. Ἱπ. 816.

Ἔνθα παρασημειοῦται ὁ Σχολιαστής. ἐκαλοῦντο ἀχίλλειαι τινὲς κριθαὶ, ὡς εὐγενεῖς αὗται.

„ Καθήμεναι φρύγουσιν, ἤτοι κριθάς. ὁ αὐτὸς Ἐκκλ. 221. τὸ γὰρ τρίχας, ὅπερ τεκμαίρεται ὁ Σχολιαστὴς ἐστὶν ἀπόβλητον.

Κρίμα. Λείπει ἐν τῷ ἔνοχος θανάτου.

„ Ἔνοχοι ἦσαν δουλείας. πρὸς Ἑβραίους. β́. 15.

„ Ἀνεκτότερον ἔσται. δηλ. κρίμα. Ματθ. ί. 15.

Κρίσις. Ἐν τῷ, τὴν ἐπὶ θανάτῳ.

„ Ἀλέξανδρος ὁ Φιλόσοφος ἔδοξε τὴν ἐπὶ θανάτῳ κατακεκρίσθαι. δηλ. κρίσιν. Ἀρτεμίδωρος Ὀνειροκ. δ΄. 35.

„ Καὶ ὁ πατὴρ αὐτȣ͂ καταδικασθεὶς τὴν ἐπὶ θανάτῳ ἀπώλετο. ὁ αὐτός.

Κριτήριον. „ Καὶ ἐν τȣ́τῳ (ἤτοι κριτηρίῳ) γινώσκομεν. Ἰωάν. Ἐπιςολὴ ά. β΄. 3.

Κτήματα. Συνυπακȣςέον ἐν τῷ οἰκεῖα.

„ Ἕκαςον τῶν ἐλευθέρων, ἓν ὅ,τι καὶ βȣ́λεται, τῶν οἰκείων ἀράμενος. Αἰλ. Ποικ. Ἱςορ. γ΄.

„ Τὰ ἑαυτȣ͂, Θȣκιδ. Βιβλίῳ δ΄. κτήματα δηλ. ὡς ὁ Σχολιαςής.

Κτήνη. Ἐν τῷ σκευοφόρα, ϗ ὑποζύγια.

„ Τήν τε ἵππον καὶ τὰ σκευοφόρα. Δίων Κάσιος κζ΄.

Κύβος. Ἐν τῷ ἀναῤῥίπτειν. (τὸν κύβον)

„ Ὑπὲρ δὲ ἀρχῆς ἀναῤῥίπτειν παίζων. Φιλόςρατος δ΄.

Κύλιξ. Ἐν τῇ θηράκλειος μεγάλη.

„ Τὴν μὲν ἐπιςολὴν παρῶσαι, λαβεῖν δὲ τὴν θηράκλειον. Πλȣτ. Συμπ. ά.

„ Ἄκρατον, ἐβόων, τὴν μεγάλην ψυκτῆρα τὶς πρȣ́πινεν αὐτοῖς. Μένανδρος.

„ Διατὶ ἧττον μεθύσκονται ταῖς μεγάλοις κωθωνιζόμενοι. Ἀριςοτ. ἐν Προβλήμασι.

„ Ἄκρατος ἐδίδοτο, ἶσον ἴσῳ, πάλιν τὴν μείζον᾽ ᾔτησε. Δειπνοσοφ. ί.

Κώ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Κώπη. Ἐν τῷ θαλαμίων τροπουμένων. Ἀριςοφ. Ἀχαρν. ς΄. 552.

# Λ.

Λεγόμενα. Λεγόμενα ὑπακουςέον ἐν τῷ ἀπὸ τρίποδος. καὶ ἐν τῷ μεταξύ.

„ Παροιμία ἐπὶ τῶν ἀληθῶς λεγομένων. ἤτοι ἀπὸ τοῦ Δελφικοῦ τρίποδος, ἢ ἀπὸ τοῦ Πυθαγορικοῦ. Ἡσύχιος.

Μεταξὺ λεγομένων, ἢ λόγων.

Λέξις. „ Ἐνταῦθα τῷ πλήθει τῶν τροπικῶν, πρόσθες (λέξεων) ὁ κατὰ τῶν προδοτῶν ἐπιπρόσθει τοῦ Ῥήτορος θυμός.

Λέχος. Ἐν τῷ ςρωτόν. ὅπερ ἀνελλιπῶς κεῖται παρ᾽ Εὐριπίδῃ, ἐν Ὀρέςῃ 313.

„ Μένε ἐπὶ ςρωτοῦ λέχους.

Ληπτέον. Ἐν τῷ ἀπὸ κοινοῦ. ἵνα ᾖ τὸ ὅλον. τόδε ἀπὸ κοινοῦ ληπτέον.

Λιβάς. „ Οὐ γὰρ μικρὰν εἰς Θηβαίους ὕδωρ ἔπτυσεν ὁ Διόνυσος. ἡδὺς μὲν γὰρ ἐςὶ, ποιεῖ δὲ μαίνεσθαι. Διονύσιος Ἁλικ. περὶ Κατασκευῆς λόγου.

Ἐν τῷ μικρὰν λείπει τὸ λιβάδα, ἢ χύσιν, ἢ ῥανίδα.

Λίθος. Συνυπακούεται ἐν τῷ δομαῖος, μαργαρίτης, θεμέλιος, ςάδιος, σάρδινος, ἀετίτης, ἀμέθυσος, ἀκρογωνιαῖος, ἴασπις, σμάραγδος, καὶ ἐν τῷ βάλλειν.

„ Καὶ τῆς τοῦ βάλλειν ὁρμῆς ἐπέχε. Ἰώσηπ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἰώσηπ. Ἰȣδ. Ἀρχαιολ. έ. Κεφ. ά.

Λογιζόμενος. „Ὥστε ἐγκαλυψάμενος ἀπέκλαιον ἐμαυτόν. ȣ γὰρ δὴ ἐκεῖνον γε, ἀλλὰ τὴν ἐμαυτȣ̃ τύχην .... οἵȣ ἀνδρὸς ἑταίρου ἐστερημένος εἴην. Πλάτων ἐν Φαίδρῳ, περὶ τȣ̃ θανάτȣ Σωκράτȣς.

„Ὁ μὲν δὴ ταῦτα εἰπὼν ἀπήει κατοικτείρων τὴν γυναῖκα .... οἵȣ ἀνδρὸς στεροῖο, καὶ τὸν ἄνδρα, οἵαν γυναῖκα καταλιπὼν ȣκ ἔτ᾽ ὄψοιτο. Ξενοφ. Κυροπαι. ζ'.

„Δακρύσαι ἔφη, καὶ ὀδύραϑαι τὴν Ἑλλάδα .... ὡς διάκειται Δημοσθ.

Ἐν οἷς προθετέον τὸ, λογιζόμενος, ἤ τὶ τοιȣ̃τον ἄλλο.

Λογιστέον. „Μή ποτ᾽ ȣ̃ν κρεῖττον ᾖ λέγειν. Ἔνθα ὑπακȣστέον, τὸ λογιστέον, ἢ σκεπτέον. Διονύσιος Ἁλικ. περὶ Κατασκευῆς λόγȣ.

Λόγος. Ἐν τῇ Ὁμιλίᾳ τȣ̃ Μεγάλȣ Βασιλείȣ, εἰς τοὺς Μ. Μάρτυρας πρόσθες τὸ λόγους.

„Τȣ́τους τοὺς παρακλητικȣ̀ς ( ἤτοι λόγȣς ) ἐνδιδόντες ἀλλήλοις. λόγος λείπει ἐν τῷ Ἐπιτάφιος, Παναθηναϊκὸς, Πανηγυρικὸς, Πλαταϊκὸς, Συμμαχικὸς, Μεγαρικός. καὶ ἐν τῷ μηκύνειν, προσφέρεσθαι, διὰ πλειόνων, διὰ βραχέων ἤτοι λόγων. ἐν τῷ εἰπεῖν, ἐν τῷ ὑπολαμβάνειν.

„Πό-

„ Πόσȣς εἴποιμ' ἂν ἄλλȣς, εἴμε μηκύνειν δέον. Ἀ'ρισοφ. Λυσ. εἴμε μηκύνειν τὸν λόγον δηλ.

„ Ἄ'κου Ὀ'δυσσεῦ διαλαλήσομεν τί σοι. παρ' Εὐριπίδῃ ἐν τῷ Κύκλωψ. φησὶ πρὸς τὸν Ὀ'δυσέα ὁ Σιλυνὸς πρὸς ὃν ὁ Ὀ'δυσσεύς.

„ Καὶ μὴν φίλοι γε προσφέρεθε πρὸς φίλον. ἤτοι προσφέρεσθε λόγον.

„ Ὁ' Λιβάνιος ἁπλῶς τὸ εἰπεῖν τίθησιν, ἀντὶ τȣ̃ εἰπεῖν λόγον.

„ Τὰ αὐτὰ δὲ λέγοντος τȣ̃ Μάρδȣ, ὑπολαβὼν ὁ βασιλεὺς εἶπε. δηλ. ὑπολαβὼν τὸν λόγον. Αἰλια. Ποικ. Ἱ'σορ. ά.

„ Καὶ συνελόντι φάναι, ἤτοι λόγῳ.

Λόγος, ἡνίκα σημαίνει αἰτίαν.

„ Ἐ'πί τινι γὰρ καὶ ἔμελλον ὅτω κήδεσθαι τȣ̃ Διδασκάλου ἀντὶ τοῦ ἐπί τινι λόγῳ. λέ. Βασιλ. περὶ τῆς ἀχειροποιήτȣ εἰκόνος.

„ Ἀ'λλὰ μὴν πρώτη γε καὶ μεγίστη τῶν χρειῶν ἡ τῆς τροφῆς παρασκευὴ, τȣ̃ εἶναί τε καὶ τȣ̃ ζῆν ἕνεκα. Πλάτων Πολιτ. ἐν οἷς ἅπαντα ὁ προσδιαλεγόμενος παντάπασί γε, λείπει τὸ λόγοις.

Λοιδορία. Ἐ'ν τῷ πλύνειν καὶ σείειν. παρ' Ἀ'ριστοφάνει.

Μά-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# Μ.

**Μάζα.** Λείπει, ἐν τῷ τετριμμένη, μεμαγμένη οἰνοῦττα, μελιττοῦτα.

„ Τετριμμένης γὰρ φύσιν ἐπιθυμεῖν, Ἀριστοφ. Εἰρη.

**Μάθημα.** Ἐν τῷ ἐγκύκλιον.

**Μαθητής.** Παρθένιος ὁ τοῦ Διονυσίου, ὑπακουστέον τὸ Μαθητής. Οὕτω γὰρ ἐκλαμβάνεται παρ᾽ Ἀθην. τῷ Δειπνοσοφιστῇ. Ὡσαύτως Περσαῖος ὁ τοῦ Ζήνωνος. παρὰ τῷ Δίωνι, οἱ ἀμφὶ Πλάτωνα. λείπει τὸ Μαθηταί. ὃ δὴ προσέτι σημαίνει τὸν Πλάτωνα μετὰ τῶν Μαθητῶν, ἢ αὐτὸν τοῦτον δίχα τῶν Μαθητῶν.

„ Κλαῖε πρὸς τοὺς Πιτάλου. Λείπει τὸ Μαθητὰς παρασημειοῦται ὁ Σχολιαστής. Ἀριστοφ. Ἀχαρ. 1031.

**Μαντεῖον.** Ἐν τῷ αἰγεῖον. ἐς Τροφωνίου.

**Μαρτύριον.** Ἐν τῷ συμβιβάζειν, ὃ σημαίνει, τὸ ἐπιχειρήματα πρὸς πίστωσιν συνάγειν.

„ Συμβιβάζων ὅτι οὗτός ἐστιν ὁ Χριστός. Πράξ. θ΄. 22.

**Μάχη.** „ Ἐν τῷ σταδίῃ. ἔθλος δ᾽ ἐν σταδίῃ. Ὅμηρος Ἰλι. ό. 283.

„ Εὖ δὲ καὶ ἐν σταδίῃ δεδαημένος ἀντιφέρεσθαι. Ἀπολ. Ῥόδιος ά. 200.

„ Καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

„ Καὶ ἐν τῷ συνάπτειν.

Ξυνῆψαν. Εὐριπ. Φοινισ. ς'. 1199. ἔνθα φησὶν ὁ Σχολιαστὴς λείπει τὸ μάχην.

„ Τῆς ἐν λεύκτροις. πρόσθες μάχης γενομένης. Παυσ. Ἀττ. ιγ'.

„ Τὴν ἐπὶ τῆς ἀσπίδος λαπιθῶν πρὸς κενταύρους. ὁ αὐτὸς κη'.

Μέγας, μέγα. Τὸ φρονεῖν ἐνίοτε ἀπολύτως τίθεται ἀντὶ τοῦ μέγα φρονεῖν.

„ Φρονοῦσα δὲ ἡ Μεσσήνη διὰ τὸν πατέρα ἀξιώματι. Παυσ. Μεσσην.

„ Φρονήσας ἐφ' ἑαυτῷ, δηλ. μέγα. ὁ αὐτὸς Ἀττικ.

„ Λέγων εἶναί τινα ἑαυτὸν, δηλ. μέγαν. Πράξ. ε'. 9.

Μέδιμνοι. „ Καὶ σίτου προθεῖναι μυριάδα, πρόσθες. μεδίμνων. Πολύβ. ε'.

Μέλος, ἢ μέρος. „ Ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ. πρόσθες, μέλος πρὸς Ἑβρ. ιβ'. 13.

Μέλος, ἢ ᾆσμα. Ἐλλείπει ἐν τῷ ᾄδειν τὸ ἐγερτήριον, τὸ παρορμητικὸν, τὸ ἐνδέσιμον, τὸ συγκλητικὸν, τὸ ἀνακλητικὸν, τὸ πολεμικὸν, τὸ ἐμβατήριον, παρακλαυσίθυρον.

Μερίς. Λείπει ἐν τῷ ἐσχατιή.

„ Ναῖον δ' ἐσχατιὴν φθίας. Ὅμ. Ἰλ. α'.

Ἐν τῷ ἑῷα.

„ Κατὰ τὰς ἑῴας, δηλ. μερίδας. Ἀριστοφ. περὶ Κόσμου.

Ἐν τῇ ἥ. „ Ταύ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„ Ταύτῃ πρῶτον, ᾗ Ἀλέξανδρος παρεκινδύνευσε, Ἀῤῥιανὸς ά.

„ Τὴν πολλοςὴν τῆς ςρατιᾶς ἄγοντες, δηλ. μερίδα. ὁ αὐτὸς ς'.

Ἐν τῷ ἀριςερᾷ.

„ Ἐπ' ἀριςερᾷ περιβεβλῆσθαι, καὶ ἐπ' ἀριςερᾷ γράφειν. Ἀρτεμ. γ'. ἤτοι μερίδι.

Ἐν τῷ νικῶσα.

„ Οἱ Θεοδώρου λόγοι τὴν νικῶσαν εἶχον, δηλ. μερίδα. ἐν τῷ βίῳ Θεοδώρου τοῦ Γραπτοῦ.

Μέρος. Ἐν τῷ ἥμισυ.

„ Καὶ ἥμισυ μοίρεο τιμῆς. Ὅμηρ. Ἰλ. ά.

Ἐν τῷ ἕτερον.

„ Εἰς τὸ ἕτερον ἐπικλίνον. Λούκιος, ἢ Ὄνος.

Ἐν τῷ λοιπόν.

„ Τὸ λοιπὸν τοῦ βίου.

Ἐν τῷ ἴσον.

„ Ἴσον ἐμοὶ βασίλευε. Ἰλ. ά. 612.

„ Κύλικα ἴσον ἴσῳ κεκραμένην. ἤτοι ἴσον μέρος ὕδατος ἴσῳ μέρει οἴνου κεκραμμένην. Ἀριςαίνετος.

Ἐν τῷ πλέον, πλεῖςον, ἄκρον.

„ Καὶ προσεκύνησεν τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. Ἑβρ. ιά.

Ἐν τῷ ἔσωθεν, ἔξωθεν, ὄπισθεν, ἔμπροσθεν, λαιὸν, δεξιὸν, ἓν.

„ Καθ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„ Καθ' ἓν, Θεκιδ. ή. 46. προςίθησιν ὁ Σχολιαςὴς, ἤτοι μέρος.

„ Τὸ ἔξωθεν τοῦ ποτηρίου. Λουκᾶς ιά. 39.

Ἐν τῷ καθ' ὃ, καθ' ὅτι, καθόσον, τὸ ἐμὸν, σὸν, τὸ ἐκείνε, τὸ ἐπ' ἐμοί.

.... Βαρβάρες,

„ Ἕλλησιν ἡμᾶς πρέπιες τὸ σὸν μέρος, ἀνελλιπῶς φησὶν Εὐριπίδης.

Ἐν τῷ κατ' ἐμέ.

„ Οὕτω τὸ κατ' ἐμὲ πρόθυμον, καὶ ὑμῖν τοῖς ἐν Ῥώμῃ εὐαγγελίσασθαι. πρὸς Ῥωμ. ά. 15.

„ Ἐν τῷ μετεῖναι.

„ Ὅσοις μέτεσι τε χρηςε τρόπε. Ἀριςοφ. Πλ.

„ Δάφνης εἰς τὸ ςόμα λαβὼν, δηλ. μέρος.

Μέρος τί. „ Ἐνοσφίσατο ἀπὸ τῆς τιμῆς, δηλ. μέρος τί. Πράξ. έ.

„ Αἴρει τὸ πλήρωμα αὐτε ἀπὸ τοῦ ἱματίε. Ματθ. θ'. 16.

„ Δότε ἡμῖν ἐκ τε ἐλαίε ὑμῶν. ὁ αὐτὸς κέ. 8.

„ Αἴρει τὸ πλήρωμα αὐτε τὸ καινὸν (μέρος τί) τε παλαιε. Μάρκος β'. 21.

„ Τῶν δὲ ἄρτων αὐτε ἔδωκε τῷ πτωχῷ. Παροιμ. κβ'.

„ Καὶ λήψη τε ἐλαίε τε χρίσματος. Ἔξοδ. κθ'.

„ Καὶ

„ Καὶ λήψῃ τȣ̃ αἵματος αὐτȣ̃.

„ Καὶ ἔφαγεν ὁ λαὸς τῶν θυσιῶν αὐτῶν. Ἀριθ. κέ.

„ Ξυνετρίβη τῆς κεφαλῆς, Ἀττικῶς. ἤτοι κατάτε μέρος. Ἀριστοφ.

„ Τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμὸς, ἤτοι κατὰ τῆς ἑσπέρας μέρος. Ψαλμ. λ'.

Μέρȣς. Ἐν τῷ ἐκ θατέρȣ, ἐξ ἑκατέρȣ.

„ Πολλῶν δὲ καὶ ἀναριθμήτων ἐξ ἑκατέρȣ πεσόντων. Ζώσιμος β'. 19.

Μέρει. „ Οὐκ ἐν καιρίῳ (δηλ. μέρει) ὀξὺ πάγη βέλος.

Μέρη. „ Τὰ περὶ τȣ̀ς ὤμȣς. Αἰλ. Ποικ. Ἰς.

„ Τὰ τυφλὰ τȣ̃ σώματος, καὶ ἄοπλα, καὶ ἄχειρα ταῦτα. Ξενοφ. Κυροπ.

„ Εἰς τὰ γυμνὰ, προστίθησιν ὁ Σχολιαστὴς μέρη δηλ. Θȣκιδ. γ'. 23.

„ Ἐπὶ θάτερα τοῦ ποταμοῦ. Δίων Κάσιος λέ.

„ Νέμονται δὲ ἐπ' ἀμφότερα τȣ̃ κύρνȣ. ὁ αὐτὸς λζ'.

„ Καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα τῆς Βαβυλῶνος. Πράξ. ζ'. 43.

Τὸ ἐπέκεινα, τοῖς πολλοῖς δοκεῖ εἶναι Ἐπίρρημα. ἀλλ' ἔμπης κατὰ τȣ̀ς ἀκριβεστέρȣς σύνθετόν ἐστιν ἐκ τῆς ἐπὶ προθέσεως καὶ τȣ̃ ἐκεῖνα Ἀντωνυμίας, ἢ συνυπακȣστέον τὸ μέρη, ἐξ ȣ̃ ἤρτηται, καὶ ἡ γενικὴ, ὡς ἐνταῦθα, τὸ Βαβυλῶ-

 νος,

νος, καὶ οὐκ ἔστι συντακτικὴ τοῦ ἐπέκεινα ἀντὶ Ἐπιῤῥήματος λαμβανομένου ὡς βούλονταί τινες. ἵνα ἢ τὸ ὅλον μετοικιῶ ὑμᾶς ἐπ' ἐκεῖνα τὰ μέρη τῆς Βαβυλῶνος.

Λείπει καὶ ἐν τῷ ἐκεῖνα.

„ Καὶ αὖθις ἐξ Ἰταλίας ἐκπλεύσας οὕτω διέθηκα τοὺς κατ' ἐκεῖνα Ἕλληνας. ἤτοι τοὺς κατ' ἐκεῖνα τὰ μέρη. Γάλλος παρὰ Λουκιανῷ.

„ Ἐν τῷ πρῶτα.

„ Τιμόθεον τὰ μὲν πρῶτα ἐπήνουν Ἀθηναῖοι, ἀντὶ τοῦ κατὰ τὰ πρῶτα μέρη τοῦ χρόνου. Αἰλ. Ποικ. Ἱστορ. γ'.

„ Τῶν γὰρ μετρίων πρῶτα εἰπεῖν. Εὐριπ. Μηδεία. ς'. 125.

Ἤτοι τῶν γὰρ μετρίων πραγμάτων τὰ πρῶτα εἰπεῖν δεῖ μέρη. ἢ πρῶτα εἰπεῖν μέρη ἡγοῦμαι δεῖν.

„ Ἡ δὲ Ἰταλικὴ, ἀπὸ Πυθαγόρου, ὅτι τὰ πλεῖστα κατὰ τὴν Ἰταλίαν διέτριψε· Διογέν. Λαέρτ. ἐν Προοιμίῳ.

Ἐν τῷ, εἰς τὰ ὀπίσω, τὰ πρὸς τὴν θύραν δηλ. μέρη.

Ἐν τῷ ἴσα, ἐν τῷ καθέκαστα, ἐν τῷ κατὰ μέσα.

„ Ἴσα βαίνειν δηλ. μέρη. Ἁρποκρατίων.

„ Καθέκαστα δηλ. μέρη. Θεοφρ. Χαρ. γ'.

„ Ἐσχίσθη εἰς δύο. Μάρκος ιε'.

„ Ἔνθα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„ Ἔνθα σφὶν κατ᾽ ἶσα μάχην ἐτάνυσσε Κρονίων. Ὅμηρ. Ἰλ. λ. 336.

„ Ἔστι δέ τις κατὰ μέσσα περίτροχος ὕδατι λίμνη. Διον. Περιηγ. 987.

Μερῶν. Ἐν τῷ, ἐκ δεξιῶν, καὶ ἐξ εὐωνύμων. δηλ. μερῶν.

Ὑμεῖς ἐκ τῶν κάτω ἐστέ. ἐγὼ δὲ ἐκ τῶν ἄνω εἰμὶ, δηλ. μερῶν.

Ἐν τῷ, ἐκ γειτόνων, ἐν τῷ, ἐκ τῶν ἐναντίων.

„ Ἡ τοῦ πλουτοῦντος ἐκ γειτόνων οἰκοῦντος ἄδεια καὶ τροφή. Χρυσόστομος εἰς τὸν, τὸν ἑαυτὸν μὴ ἀδικοῦντα.

„ Οὐ μόνον οὐδενὸς αἴτιον κακοῦ τῇ πόλει, ἐκ δὲ τῶν ἐναντίων, καὶ κόσμον ταῖς Ἀθήναις ὄντα. Αἰλ. Ποικ. Ἱστορ. β΄. ιγ΄.

Μέτρου. Συνυπακουστέον, ἐν τῷ πολλῷ, ὅσῳ, πόσῳ, τοσούτῳ, ὀλίγῳ, μακρῷ, μικρῷ.

„ Πολλῷ ὑποδεεστέρων. Θουκιδ. ἔνθα παρασημειοῦται ὁ Σχολιαστὴς λείπει τὸ μέτρῳ. ἵνα ᾖ τὸ ὅλον ἐν πολλῷ μέτρῳ ὑποδεεστέρων.

„ Τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον. πρὸς Ἑβραίους ά. Ἀνθ᾽ ὅτου καὶ διορθοῦσι τινὲς τὸ τοῦ Αἰλιανοῦ. Ποικ. Ἱστορίας, ά. 23.

„ Ἐν τοῖς Ἕλλησι τοῖς πάλαι μακρᾷ τῇ δόξῃ διέπρεπε Γοργίας ὁ Λεοντῖνος

Φιλολάυ, καὶ Προταγόρας Δημοκρίτυ. ἀντὶ τοῦ μακρᾶ τῇ δόξῃ, τιθέντες τὸ μακρῷ τῇ δόξῃ. Αἰσχύλος Προμυθ. τέχνη δ' ἀνάγκης ἀσθενεςέρα μακρῷ. Θυκιδ. ζ'. πρῦλαβε πολλῷ. Διονύσιος Ἁλικ. θ'. μακρῷ πρῦχοντες ἡμῶν. Πλύταρχος περὶ Παίδων Ἀγωγῆς, μακρῷ κρείττυς. Ἡλιόδ. Αἰθιοπικῶν ἑ. ἐνταῦθα ἤδη μακρῷ τὸν πέλωρον ὑπερεῖχεν ὁ Θεαγένης. Θεμίςιος β'. ὑπερφέρειν μακρῷ. Αἰλιανὸς μακρῷ γεγονότας αὐτῶν κρείττονας.

„ Πρὸς τὸ πλέον τὴν κακίαν ἀσκήσαντες. ἤτοι, πρὸς τὸ πλέον μέτρον. Ἀςέριος Ἐμεσηνὸς παρὰ Ἀῤῥιανῷ.

„ Καὶ παρὰ πολὺ βελτίων ἀπῆλθε. Λυκ. Νιγρίνῳ.

Μήν. Λείπει ἐν τῷ ἕκτη ἱςαμένυ, μεσῦντος, φθίνοντος, δηλ. μηνός.

Μήτηρ. „ Ἡ Λαμάχυ. Ἀριςοφ. Θεσμοφ.

„ Ὀλυμπιὰς ἡ Ἀλεξάνδρου. Αἰλ. Ποικ. Ἱςορ. ιγ'.

„ Μαρία Ἰακώβυ. Λυκᾶς κδ'.

„ Μαρία Ἰωσῆ. Μάρκος ιέ.

Μισθὸς, μίσθωμα. Ἐν τῷ δέκαμνος. Ἀριςοφ. Εἰρ. 1234.

Ἐν τῷ τὰ ἐπίχειρα. ὁ αὐτὸς Σφ. 579.

Μνᾶ. Ἐν τῷ ἐπὶ δραχμῇ. ἐπὶ ὀβολοῖς ἐννέα, ἢ τοσύτοις, καὶ τοσύτοις δανείζεσθαι. λείπει τὸ μνᾶν. Αἰσχ. κατὰ Τιμάρχυ.

Μνη-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Μνῆμα, ἢ μνημεῖον. Ἐν τῷ ἡρῷον.

Μοῖρα. Ἐν τῷ μία, ἴα, ἄλλη, δεκάτη, ἡμίσεια, ἴση.

„ Οὐετέριος δὲ τὴν ἡμίσειαν τῆς στρατιᾶς ἐπαγόμενος. Διον. Ἀλικ. ε.

„ Καὶ ἄδειαν ἐπί τε τῇ ἴσῃ, καὶ ἐπὶ τῇ ὁμοίᾳ δοῦναι. Δίων Κάσιος μγ.

„ Τριπλῇ, τετραπλῇ τ' ἀποτίσομεν. Ἰλ. ά. 128.

Μόνον. Χαριέντως ἐν τῇ Ἑλλάδι Φωνῇ σεσίγηται ἐπὶ πολλῶν τὸ μόνον.

„ Αὐτόγε μὴν τοῦτο ἐνεφάνισεν αὐτοῖς ὅτι καλεῖται Πλάτων. Αἰλ. Ποικ. Ἱστορίας, δ'.

„ Εἶτ' εὐωχοῦνται ποιησάμενοί με (μόνον) τῆς εὐφροσύνης μάρτυρα. Λουκ. Δισκ.

„ Οὐ γὰρ μεγέθει (μόνον) τῶν ἀρετῶν, ἀλλὰ καὶ τῷ πλήθει πολὺ λειπόμενος ὁ Λυσίας. Λογγῖνος περὶ Ὕψους.

„ Οὐ διὰ τὸ γενόμενον (μόνον) ἀλλ' ὅτι καὶ διάστροφος ἦν τοὺς ὀφθαλμούς. Ἀρτεμιδ. Ὀνειροκ. ς'.

„ Ὁ μακαρισμὸς οὗτος, ἐπὶ τὴν περιτομὴν (μόνον) ἢ καὶ ἐπὶ τὴν ἀκροβυστίαν.

„ Μὴ τὰ ἑαυτῶν ἕκαστος σκοπεῖτε (μόνον) ἀλλὰ καὶ τὰ τῶν ἑτέρων ἕκαστος. πρὸς Φίλιπ. β'.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Μόριον. Λείπει ἐν τῷ ἀκαρεῖ, ἐν τῷ βραχεῖ. δηλ. μορίῳ.

„ Ἐν βραχεῖ τοῦ χρόνου. Λουκ. ἐν Τίμωνι.

Ὡσαύτως καὶ ἐν βραχεῖ τῆς ἡμέρας.

Μῦθος. Ἐν τῷ ποῖον ἔειπας. δηλ. μῦθον παρ᾽ Ὁμήρῳ.

Μῦς. Ἐν τῷ ὀροφίας. Ἀριστοφ. Σφηκ. 206.

Ἔνθα φησὶν ὁ Σχολιαστὴς, ἀντὶ τοῦ εἰπεῖν μῦς ὀροφίας.

Λέγονται δὲ μῦς ὀροφίαι, καὶ ὄφεις οἱ περὶ τὰς ὀροφὰς διάγοντες, καὶ ταύτας κατατρώγοντες.

Μυστήρια. Ἐν τῷ μεγάλα.

Μῶν οὖν ἐμυήθης δῆτ᾽ ἐν αὐτῷ τὰ μεγάλα. δηλ. μυστήρια. Ἀριστοφ. Πλ. 846.

## N.

Ναός. Ναὸν ὑπακουστέον μετὰ τὴν εἰς, καὶ πρὸς Πρόθεσιν συναπτομένην ὀνόματί τινι Θεοῦ, ἢ Θεᾶς. οἷον, εἰς Ἀπόλλωνος, εἰς Ἀσκληπιοῦ, εἰς Ἀρτέμιδος.

„ Ἐκ Θεοῦ σὺ θεῖς. Εὐριπ. 787.

„ Οὔτε ἐν ἀμφιάραου, τιμὴν τινα ἔχει. Παυσ. Ἀττικ.

Ναῦς. Ἐν τῷ διήρης, τριήρης, πεντήρης, ἑξήρης, σχεδία, πεντηκόντορος. σχεδία δὲ ὥς φησιν Εὐστάθιος, Ὀδ. ε. ἡ δ᾽ ὀλίγου συμπαγεῖσα ναῦς.

Νεώς,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Νεώς. Ἐν τῷ, ἀπὸ καταδυομένης ὅ, τι ἂν λάβῃς κέρδος. Παροιμία. Ἐν τῷ ἀπὸ καταδυομένης φησὶν ὁ Σουΐδας, λείπει νεώς.

Ναῦν. Ἐν τῷ ἐλαύνειν, ἀνάγειν, ἐπανάγειν, κατάγειν, προσβάλλειν, εἰσβάλλειν, καὶ ἐν τῷ, ἐπακτία, καὶ ἐμβαίνειν καὶ ἐπιβαίνειν, καὶ εἰσβαίνειν.

„ Ἐληλακότες οὖν σαδίους εἰκοσιπέντε. Ἰωάν. Εὐαγγελ. ς'.

„ Ἠρώτησαν αὐτὸν ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν ὀλίγον. Λουκᾶς ε'.

„ . . . ὦκα δὲ Τῖφυς

Εἰσβαίνειν ὀρόθυνεν ἐπαύρεσθαί τ' ἀνέμοιο. Ἀπολλώνιος Ῥόδιος Ἀργον. ά. 1275.

„ Ῥάδιος προσχεῖν ἀσφαλὴς προσβαλεῖν. Πολυδ. ά. Κεφ. θ'.

„ Περί τινος λιμένος τὸν λόγον ποιούμενος.

„ Βρομίου πόλιν ἐοίκαμεν εἰσβαλεῖν. ὡς εἰ ἔλεγε κατὰ Βρομίου πόλιν ἐοίκαμεν εἰσβαλεῖν τὴν ναῦν. Πολυδ. ά.

„ Ἔλιπες, ἔλιπες, ὦ πάτερ, ἐπακτίαν. δηλ. ναῦν.

Ὡσεὶ μονάδ' ἔρημον οὖσαν.

Ἐναλίου κώπας. Εὐριπ. Ἀνδρομ. 853.

Νῆες. Ἐν τῷ ἱππαγωγοί, σιταγωγοί, χιλιαγωγοί, μυριαγωγοί.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„ Ἱππαγωγοὺς δὲ τὰς ἵππους καὶ ἄνδρας ἀγούσας ναῦς φησὶν ὁ Ἀριστοφάνους Σχολιαστής.

**Ναύτης.** Ἐν τῷ θαλάμιος, ζύγιος, θρανίτης. δηλ. ναύτης.

„ Θαλάμιος λέγεται ὁ ἔσχατος, ὁ δὲ μέσος ζύγιος, ὁ δὲ ἀνώτατος θρανίτης κατὰ τὸν Ἡσύχιον.

**Νεκρός.** „ Ἀλλ' ἔμ' ἀποδύσασ' ἐπιλαβοῦσα τοὔγκυκλον,

ᾤχου καταλιποῦσα ὡσπερεὶ προκείμενον. ἔνθα λείπει τὸ νεκρόν. ἵνα ᾖ ὡς προκείμενον νεκρόν. Ἀριστοφ. Ἐκκλ. 533.

**Νῆσος.** Ἐν τῷ πιτυόεσσα, ἢ πιτυοῦσα. πλατανιστόεσσα, ἢ πλατανιστοῦσα.

**Νόμισμα.** Ἐν τῷ δίδραχμον, τετράδραχμον, λεπτὸν, ἀσάριον, δηνάριον, καὶ εἴτι ἄλλο.

**Νόμος.** Ἐν τῷ παραβαίνειν.

„ Πῆ παρέβην; τί δ' ἔρεξα; τί μοι καλὸν οὐκ ἐκτελέσθη; ἀντὶ τοῦ πῆ παρέβην τοὺς νόμους. Πυθαγ. Χρυσᾶ ἔπη.

„ Πᾶς ὁ Παραβαίνων, ἤτοι τὸν νόμον. Ἰωάν. Ἐπισ. β'.

**Νόσος.** Ἐν τῷ πλευρῖτις, ἰσχιὰς, ἀθρῖτις.

**Νοῦς.** Τὸ προσέχειν καὶ καθ' ἑαυτῷ κεῖται, καὶ μετὰ τοῦ νοῦ, καὶ ἄλλων.

„ Προσέχειν τοῖς λαλουμένοις. Πράξ. ις.

„ Προσέχειν τοῖς ἀκουσθεῖσι. Πρὸς Ἑβραίους β'.

„ Πρό-

„ Πρόσεχε τὸν νοῦν ἵνα πύθῃ. Ἀριστοφ. ἐν Πλούτῳ.

„ Αὐτοῖς σφόδρα προσεῖχον τὸν νοῦν. Πλάτων.

„ Προσέχειν τὴν διάνοιαν. Αἰλ. Ποικ. Ἱστορ. ιδ'.

Ὡσαύτως ϗ τὸ ἐπέχειν.

Ἔπεχε σεαυτῷ ϗ τῇ διδασκαλίᾳ. ἀντὶ τοῦ ἔπεχε τὸν νοῦν. πρὸς Τιμόθεον ά.

Λαμβάνεται δὲ ϗ τὸ προσποιεῖσθαι, ἀντὶ τοῦ προσέχειν.

„ Ἀκούσας τι, δόξει μὴ προσποιεῖσθαι. Θεόφρ. Χαρ. ά. ἀντὶ τοῦ μὴ προσποιεῖσθαι τὸν νόον.

## Ξ.

**Ξενία.** Ὁτὲ μὲν τίθεται, ὁτὲ δὲ προσυπακούεται.

„ Ἑτοιμάζειν ξενίαν. Παῦλος πρὸς Φιλήμονα.

„ Καὶ πορευθέντες εἰσῆλθον εἰς Κώμην Σαμαρειτῶν, ὥστε ἑτοιμάσαι αὐτῷ. πρόσθες ξενίαν.

**Ξίφος.** Ἐν τῷ ἐγχειρίδιον.

„ Λαβεῖν ἐγχειρίδια ὑποκόλπια. Ἡρωδιανὸς ζ'.

**Ξύλον.** Ἐν τῷ νήιον. ἀδιάφορον.

„ Νήιον ἐκτάμνησιν. Ἰλ. γ'. 62.

„ Ἔνθα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

„ Ἔνθα παρασημειοῦται ὁ Εὐστάθιος. ὑπόκειται ξύλον, ἤτοι ἐπιτήδειον εἰς νῆα.

„ Τὸ ἀνάφορον. ξύλον ἀμφίκοιλον, ἐν ᾧ τὰ φορτία ἐξαρτήσαντες οἱ ἐργάται βαστάζουσι. Σχολιαστὴς Ἀριστοφ. ἐν Βατρ. ἐν πληθυντικῷ δὲ ἀριθμῷ λαμβανόμενον συνεφέλκεται τὸ ἐγκοίλια. Ταῦτα δὲ εἰσὶ τὰ ἀπὸ τῆς τρόπιδος ἀνερχόμενα ξύλα, ἅτινα ἰδίως καλοῦνται ἐντερόνεια.

# Ο.

**Ὀβολός.** Ἐν τῷ κοδράντης.

**Ὀδόντες.** Ἐν τῷ γόμφιοι, οἱ ἀλήθοντες τὰς τροφὰς, ἐν τῷ γελασῖνοι, οἵτινες προφαίνουσιν ἑαυτοὺς ἐν τῷ γελᾶν.

**Ὁδός.** Ἐν πολλοῖς ἡ φωνὴ αὕτη σεσίγηται, συνεξακούεται δέ. ἡ εὐθεῖα. ἡ σύντομος. ἡ συντομωτάτη. ἡ ἐπίτομος. ἡ τραχεῖα. ἡ ὄρθιος. ἡ ἀπάντης. ἡ κατάντης. ἡ λεωφόρος. ἡ ἐπιτηδειοτάτη. ἡ ἑτέρα. ἡ ἄλλη. ἡ ὀπίσω. ἡ ἐπὶ θάνατον. ἡ πλατεῖα. καὶ τὰ ἑξῆς.

„ Καὶ μὴν σύντομόν τινα ταύτην ᾠόμην ἐπινενοηκέναι ἔγωγε. Ζεὺς Τραγ.

„ Οὐ γάρ σε τραχεῖάν τινα, οὐδὲ ὄρθιον, καὶ ἱδρῶτος μεστὴν ἡμεῖς γε ἄξομεν, ὡς ἐκ μέσης αὐτῆς ἀνατρίψαι κάμοντα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μόντα. Ἐπεὶ ἐδὲν διαφέρομεν τῶν ἄλλων, ὅσοι τὴν συνήθη ἐκείνην ἡγοῦνται μακρὰν κ̀ ἀνάντη, κ̀ καματηρὰν, καὶ ὡς τὸ πολὺ ἀπεγνωσμένην. ἀλλὰ τόγε παρ' ἡμῶν ἐξαίρετον τῆς συμβελῆς τῦτ' ἐςὶν, ὅτι ἡδίςην τε ἅμα, κ̀ ἐπιτομωτάτην, καὶ ἱππήλατον, κ̀ κατάντη. Ῥήτ. Διδάσκαλος.

„ Οὐ τὴν ἐπιτηδειοτάτην αὐτὲς ἤγαγον. Δίων Κάσιος.

„ Πλαγχθεὶς πλατείας πεδιάδος θ' ἁμαξιτῦ. λείπει τὸ ὁδῦ, Εὐριπ.

„ Μὴ βαδίζειν τὰς λεωφόρυς. Αἰλ. Ποικ. Ἱςορ. δ'.

„ Σὺ μὲν γὰρ ἐπὶ τὴν κατάντη αὐτὲς πάντας ἄγεις. ὁ αὐτὸς ιγ'. 32.

„ Ἀγαγεῖν τὴν ὀπίσω εἰς οἰκεῖα. ὁ αὐτὸς γ'.

„ Προϊὼν κ̀ τὴν ἐπὶ Βαβυλῶνος. ἦγεν ὁδόν. Ξενοφῶν Κυροπ. ζ'.

Προσέτι κ̀ ἐν τύτοις τοῖς Ῥήμασι ἀνύω, τελῶ.

„ .... Ἀλλ' ὐ μέλλειν
χρὴν σ' ἀλλ' ἀνύειν. Ἀρισοφ. Πλ.

Ἔνθα φησὶν ὁ Σχολιαςής. ἀνύω τὸ τελειῶ, ἀνύω κ̀ τὴν ὁδὸν ἤτοι σπουδαίως βαδίζω.

Παρ' Εὐριπίδῃ δὲ εὕρηται τὸ δρόμον ἀντὶ τῦ ὁδόν.

„ Ἀνεμώκεος εἶθε δρόμον, νεφέλας,

„ Πο-

„ Ποσὶν ἐξανύσαιμι δι' αἰθέρος.
„ Εἰς Ἰνδὲς τελεῖ. Λυκ. Ἑρμότ.
„ Εἰς Φάρσαλον ἐτέλεσε. Θυκιδ.
„ Ὥςε ἄλλῃ ποι ἀποχωρεῖν. Ξενοφῶν Κυροπαιδ.

Οἰκεῖος. „ Ἀσπάσασθε τὲς ἐκ τῶν Ἀριςοβέλυ, ἤτοι οἰκείων. πρὸς Ῥωμ. ις'.
„ Ἐδηλώθη μοι ὑπὸ τῶν χλόης. ὡσαύτως πρὸς Κορ. ά.

Οἴκημα. „ Συνυπακέεται τῷ ὑπερῴῳ, ὡς ἂν εἴπῃς ὑπερῷον οἴκημα. τῷ τριςέγῳ, τῷ γυναικείῳ, τῷ ἀνωγαίῳ, κα]ωγαίῳ.

Οἰκήματα. „ Τῷ, βασίλεια, ἀρχεῖα, χαρτοφυλάκια. Ἔνθα οἱ δημόσιοι χάρτοι ἀπόκεινται.
„ Εἰς τὰ τίνος, εἰς τὰ τῦ ἀδελφῦ, εἰς τὰ τῦ Διός,
„ Καὶ ἐρωτῶσιν ὅποι βαδίζοιμεν. Ὁ δὲ ἔφασκεν εἰς τὰ τῦ ἀδελφῦ τῦ ἐμῦ. Λυσίας κατ' Ἐρατοσθ. ιδ'.
„ Ὡς ἐδὲν γλύκιον γ' ἧς πατρίδος, εἶπεν Ὅμηρος
„ Ἐν γὰρ τοῖς κίρκης ἔκχυτον ἐκ ἔφαγεν. Παλλαδᾶς Ἐπίγραμ.
„ Οὗ τὰ Λυκάωνος. Θεόκρ. Εἰδ. β'.
„ Οὐκ ἤδειτε, ὅτι ἐν τοῖς τῦ πα]ρός μυ δεῖ εἶναι με. Λυκᾶς β'.
„ Ἀπέλυσεν ἐπὶ τὰ οἰκεῖα. Διονύσ. Ἁλικ. ή.

Οἰκοδόμημα. Λείπει ἐν τῷ μεταπύργιον.

„ Με-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„ Μεταπύργιον τὸ ἐν μέσῳ οἰκοδόμημα, τῶν ἐπὶ τοῦ τείχους πύργων. Ἁρποκρατίων.

Οἶκος. Λείπει ἐν τῷ ἔντινος, εἴςτινος. οἷον τοῖς ἐν ἀλλοτρίȣ οἴκȣσι δηλ. οἴκοις. ἐν τοῖς ἁρπάγȣ. Ἡροδ. ά. ἐν Γλαυκίου. Λȣκ. Φιλοψ. εἰς παιδοτρίβȣ πέμπειν τȣ̀ς παῖδας. Πλȣ́ταρχος περὶ Παίδων ἀγωγῆς. εἰς κιθαριςȣ̃. Ὅς τις ȣ̓̃ν βȣ́λεται τῶν πενήτων ἴτω εἰς ἐμȣ̃. Λυσίςρατος, εἰς Ἀρχελάȣ. Αἰλ. Ποικ. Ἰς. β'.

Ἐν τῷ ἔχειν.

„ Τȣ̀ς κατὰ τὴν Ἀσίαν ἔχοντας, δηλ. οἶκον. Ξενοφῶν.

Ἐν τῷ ἄγεσθαι, δηλ. γυναῖκα. Ὅπερ δίχα ἐλλείψεως κεῖται παρὰ Ἡσιόδῳ τε, καὶ Λυσίᾳ.

„ Ὡραῖος δὲ γυναῖκα τεὸν ποτὶ οἶκον ἄγεσθαι. Ἡσιόδ. Ἔργ. 695.

„ Ἐπειδὴ ἔδοξέ μοι γῆμαι, καὶ γυναῖκα ἠγαγόμην εἰς τὴν οἰκίαν. Λυσίας περὶ Ἐρατοσθένȣς.

Οἱ μὲν, οἱ δέ. Ζεῦ, (οἱ μὲν) Ἰδαίοισιν ἐν οὔρεσι φασὶ γενέσθαι.

Ζεῦ, (οἱ δὲ) σὲ δὲ ἐν Ἀρκαδίῃ.

Οἶνος. Συνυπακȣ́εται. τῷ θάσιος, πράμιος, βύβλινος, χῖος, λέσβιος, κρῆς, ῥόδιος, ἀνθοσμίας, γλυκύς, ἄκρατος.

„ Καὶ φέροι πολὺν ἄκρατον. Πλȣτ. Συμποσ. ά.

Ζωρό-

„ Ποσὶν ἐξανύσαιμι δι' αἰθέρος.
„ Εἰς Ἰνδὲς τελεῖ. Λυκ. Ἑρμότ.
„ Εἰς Φάρσαλον ἐτέλεσε. Θυκιδ.
„ Ὥςε ἄλλῃ ποι ἀποχωρεῖν. Ξενοφῶν Κυροπαιδ.

Οἰκεῖος. „ Ἀσπάσαθε τὲς ἐκ τῶν Ἀριςοβέλε, ἤτοι οἰκείων. πρὸς Ῥωμ. ιϛ'.
„ Ἐδηλώθη μοι ὑπὸ τῶν χλόης. ὡσαύτως πρὸς Κορ. α'.

Οἴκημα. „ Συνυπακέεται τῷ ὑπερῴῳ, ὡς ἂν εἴπῃς ὑπερῷον οἴκημα. τῷ τριςέγῳ, τῷ γυναικείῳ, τῷ ἀνωγαίῳ, καλωγαίῳ.

Οἰκήματα. „ Τῷ, βασίλεια, ἀρχεῖα, χαρτοφυλάκια. Ἔνθα οἱ δημόσιοι χάρτοι ἀπόκεινται.
„ Εἰς τὰ τίνος, εἰς τὰ τῦ ἀδελφῦ, εἰς τὰ τῦ Διός,
„ Καὶ ἐρωτῶσιν ὅποι βαδίζοιμεν. Ὁ δὲ ἔφασκεν εἰς τὰ τῦ ἀδελφῦ τῦ ἐμῦ. Λυσίας κατ' Ἐρατοσθ. ιδ'.
„ Ὡς ὐδὲν γλύκιον γ' ἧς πατρίδος, εἶπεν Ὅμηρος
„ Ἐν γὰρ τοῖς κίρκης ἔκχυτον ὐκ ἔφαγεν. Παλλαδᾶς Ἐπίγραμ.
„ Οὗ τὰ Λυκάωνος. Θεόκρ. Εἰδ. β'.
„ Οὐκ ἤδειτε, ὅτι ἐν τοῖς τῦ πατρός μυ δεῖ εἶναι με. Λυκᾶς β'.
„ Ἀπέλυσεν ἐπὶ τὰ οἰκεῖα. Διονύσ. Ἁλικ. η'.

Οἰκοδόμημα. Λείπει ἐν τῷ μεταπύργιον.

„ Με-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„ Μεταπύργιον τὸ ἐν μέσῳ οἰκοδόμημα, τῶν ἐπὶ τοῦ τείχους πύργων. Ἁρποκρατίων.

**Οἶκος.** Λείπει ἐν τῷ ἔν τινος, εἴς τινος. οἷον τοῖς ἐν ἀλλοτρίϰ οἴκϰσι δηλ. οἴκοις. ἐν τοῖς ἁρπάγϰ. Ἡροδ. ά. ἐν Γλαυκίου. Λϰκ. Φιλοψ. εἰς παιδοτρίβϰ πέμπειν τϰ̀ς παῖδας. Πλϰ́ταρχος περὶ Παίδων ἀγωγῆς. εἰς κιθαριςϰ̃. Ὅς τις ϰ̃ν βϰ́λεται τῶν πενήτων ἴτω εἰς ἐμϰ̃. Λυσίςρατος, εἰς Ἀρχελάϰ. Αἰλ. Ποικ. Ἱς. β'.

Ἐν τῷ ἔχειν.

„ Τϰ̀ς κατὰ τὴν Ἀσίαν ἔχοντας, δηλ. οἶκον. Ξενοφῶν.

Ἐν τῷ ἄγεσθαι, δηλ. γυναῖκα. Ὅπερ δίχα ἐλλείψεως κεῖται παρὰ Ἡσιόδῳ τε, καὶ Λυσίᾳ.

„ Ὡραῖος δὲ γυναῖκα τεὸν ποτὶ οἶκον ἄγεσθαι. Ἡσιόδ. Ἔργ. 695.

„ Ἐπειδὴ ἔδοξέ μοι γῆμαι, καὶ γυναῖκα ἠγαγόμην εἰς τὴν οἰκίαν. Λυσίας περὶ Ἐρατοσθένϰς.

**Οἱ μὲν, οἱ δέ.** Ζεῦ, (οἱ μὲν) Ἰδαίοισιν ἐν οὔρεσι φασὶ γενέσθαι.

Ζεῦ, (οἱ δὲ) σὲ δὲ ἐν Ἀρκαδίῃ.

**Οἶνος.** Συνυπακϰ́εται. τῷ θάσιος, πράμιος, βύβλινος, χῖος, λέσβιος, κρῆς, ῥόδιος, ἀνθοσμίας, γλυκύς, ἄκρατος.

„ Καὶ φέροι πολὺν ἄκρατον. Πλϰτ. Συμποσ. ά.

Ζωρό-

Ζωρότερον πιὼν Αἰλ. Ποικ. Ἱστορ. ιγ'.

„ Ζωροτέρῳ χαίρει. Λυκ. ἐν Τίμ.

„ Εἰ θάσιον ἐνέχεις. Ἀριστοφ. ἐν Πλούτῳ.

„ Κυκεῶ δὲ πραμνίου δοὺς τοῖς κάμνουσι. Μάξιμος Τύριος η'.

... Ἄνωξα δὲ βύβλιον αὐτοῖς. Θεοκ. Εἰδ. ιδ'.

... Ἔδοξε ἐπιχεῖσθαι ἄκρατον. ὁ αὐτός.

„ Εἰ μὴ ἀνθοσμίας εἴη. Ξενοφῶν Ἑλλ. δ'.

„ Ἀλλ' ἄκρατον οἶνον ἀγαθοῦ δαίμονος. Ἀριστοφ. Ἱπ. 293.

„ Διόνυσε πίνεις οὐκ ἀνθοσμίαν. ὁ αὐτὸς Βατ. 266.

**Ὀλίγον.** Λείπει παρὰ Ἀριστοτέλει περὶ Ζώων Ἱστορίας Βιβλ. ζ'. Κεφ. δ'.

„ Αἱ δὲ πλησιάζουσαι πρὸ τῶν τόκων τοῖς ἀνδράσι θᾶττον τίκτουσι. ἀντὶ τοῦ ὀλίγου πρὸ τῶν τόκων.

**Ὅλος.** „ Διὰ νυκτὸς, ἀντὶ τοῦ δι' ὅλης τῆς νυκτός. Δειπνοσοφιστὴς ζ'. Κεφ. α'. παράγων τὸ τοῦ Κωμικοῦ. Εἴπως δειπνήσομεν τοσαῦτα δεῖπνα ἴσως διὰ νυκτός. οἱονεὶ δι' ὅλης τῆς νυκτὸς, ὡς καὶ τὸ Ὁμηρικὸν ἔχει.

„ Κεῖτ' ἐντοσθ' ἄντροιο τανυσσάμενος διὰ μήλων, ἀντὶ τοῦ διὰ πάντων, ἢ ὅλων μήλων.

Ὡσαύ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὡσαύτως δι' ἡμέρας ἀντὶ τοῦ δι' ὅλης τῆς ἡμέρας. καὶ διὰ βίου, ἀντὶ τοῦ, δι' ὅλου τοῦ βίου. καὶ δι' ἐνιαυτοῦ, ἤτοι δι' ὅλου τοῦ ἐνιαυτοῦ.

„ Τηλεκλείδης δὲ ἐν πρυτανείῳ δι' ἡμέρας εἶπεν. ἀντὶ τοῦ δι' ὅλης τῆς ἡμέρας. Ἀντιφῶν περὶ τοῦ Λινδίων φόρου.

Ὄνομα. Λείπει ἔν τισι.

„ Καλοῦσι δ' Ἰοκάστην με, τοῦτο γὰρ πατὴρ ἔθετο. δηλ. ὄνομα. Εὐριπ. Φοιν.

Ὄνος. Ἐν τῷ κανθήλιος.

„ Εἰ μὴ τεθέασαι τὰς Ἀθήνας στέλεχος εἶ.

„ Εἰ δὲ τεθέασαι, μὴ τεθήρευσαι δ' ὄνος.

„ Εἰ δ' εὐαρεστῶν ἀποτρέχεις κανθήλιος. Λύσιππος παρὰ Ἀθηναίῳ.

Ὄργανα. Ἐν τῷ αἰσθητήρια, ἐγχειρίδια.

Ὄρνις. Ἐν τῷ φασιανὸς, ἐν τῷ βασιλικὸς ἡνίκα λαμβάνεται ἀντὶ τοῦ ἀκανθὶς, ἀκανθελλὶς, ἀστραγαλῖνος.

Ὄρχησις. Ἐν τῷ διπλῆ. διπλῆ εἶδος ὀρχήσεως, Ἡσύχιος.

Ἐν τῷ, τελεσία. τελεσία, ἡ μετὰ ξίφους ὄρχησις, ἀπὸ Τελεσίου τοῦ εὑρόντος αὐτήν.

Ἐν τῷ πυρρίχη, ἡ πυρρίχος, ἣν ἔνοπλοι παῖδες ὀρχοῦνται.

Ὀσμή. Κοινῶς μὲν προφέρεται, Ἀττικῶς δὲ ἐλλείπει. „ Πό-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„ Πόθεν βροτὲ με προσέβαλ' ὦ 'ναξ Ἡράκλεις. Ἀρις. Εἰρη. 635.

„ Ὀσφραίνομαι τῆς τυραννίδος, ἤτοι ὀσμὴν τυραννίδος.

„ Ὦ πότνια πολυτίμητε Δήμητρος κόρη,

„ Ὡς ἡδύ μοι προσέπνευσε, (ὀσμὴ) χοιρείων κρεῶν. Βατρ. 341.

**Οὖς.** Ἐν τῷ ἐπ' ἀμφότερα, ἢ ἐπ' ἄμφω καθεύδειν, παροιμιακῶς, δηλ. ὦτα.

**Οὐσία.** Ἐν τῷ πατρικὴ, καὶ ἄτομος.

„ Ἡμῖν δὲ γ' ἄλλα πατρικῆς οὐκ ἦν μέρος. Εὐριπ. Ἴων. 1304.

Ἄτομος, ἀντὶ ἄτομος οὐσία παρὰ Φιλοσόφοις.

**Οὗτος.** Ἡ πληθυντικὴ Δοτικὴ τῆς Ἀντωνυμίας ταύτης λείπειν δοκεῖ παρὰ Ἀῤῥιανῷ Βιβλίῳ ά. ὧν (Κελτῶν) τελευταίους Κουάδους, καὶ Μαρκομάνους. ἐπὶ δὲ Σαυροματῶν μοῖραν ἰάζυγας. Ἐπὶ δὲ Γέτας τοὺς ἀπαθανατίζοντας. ἐπὶ δὲ Σαυρομάτας, τοὺς πολλούς. Ἐπὶ δὲ Σκύθας. ἐν οἷς μετὰ τὴν ἐπὶ πρόθεσιν ὑπακουστέον τούτοις, ἵνα ᾖ τὸ, ἐπὶ δὲ τούτοις.

**Ὀφθαλμός.** Ἐν τῷ ἐπέχειν, ἐν τῷ ἀτενίζειν, ἐν τῷ καταμύειν, ἐν τῷ θάτερος.

„ Ἐπέχων πῶς τὰς πρωτοκλισίας ἐξελέγοντο. ἀντὶ τοῦ ἐπέχων τοὺς ὀφθαλμούς. Λουκ. ιδ'.

„ Ὁ δὲ ἐπεῖχεν αὐτοῖς, προσδοκῶν

τι παρ' αὐτῶν λαβεῖν. Πράξ. γ'.

„ Καὶ ὡς ἀτενίζοντες ἦσαν εἰς τὸν ὐρανόν. ἀντὶ τὺ ἀτενίζοντες τὺς ὀφθαλμὺς, ἢ ἀτενεῖς ἔχοντες εἰς τὸν ὐρανόν. Πράξ. ά.

„ Ὕπνυ δευομένην ὐκ εἴασαν θορυβὖντες

„ Οὐδ' ὀλίγον καταμῦσαι. λείπει τὸ ὀφθαλμὺς.

„ Παραβλέπειν θατέρῳ. δηλ. ὀφθαλμῷ. Ἀριςοφ. Ἐκκλ. 494.

# Π.

Πάθος. Συνυπακύεται. ἐν τῷ γυναικείῳ, ἀφροδισίῳ, ϗ ἄλλοις τισί.

„ Τὰ γυναικεῖα, ἃ θήλειαν νόσον καλεῖ Ἡρόδοτος. Ἀριςοτ. ζώων Ἱς. ζ'.

„ Κάρδαμον τὰ ἀφροδίσια παρορμᾷ. Διοσκορίδης.

„ Ὁ δ' ἡδονῇ δοὺς εἴς τε βακχεῖον πεσών. Εὐριπ. Φοιν. 21.

„ Τὰ μανικὰ ϗ μελαγχολικὰ, δηλ. πάθη. Ἱπποκρ. Ἀφορ. γ'.

„ Τὸ φονικὸν, ἤτοι πάθος. Αἰλ. Ποικ. Ἱςορ. β'.

Παῖδες. Λείπει ἐν τῷ σκότιοι, παρθένιοι, κορινᾶιοι, ἀμφιθαλεῖς, ἑτεροθαλεῖς, ϗ ἄλλοις.

Παλαίςρα. Ἐν τῷ, παιδοτρίβυ, πρόσθες παλαίςρα.

 Λεί-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πάντα. Λείπει πρὸ τῦ ὅσα.

„ Ἐγὼ δὲ φιλοσοφίαν τιμῶ, ϗ τῶν, ὅσα ἀνθρώπινα προτιμῶ, ἀντὶ τῦ πάντων πραγμάτων, ὅσα ἀνθρώπινα. Συνέσιος, Πυλαιμαίνει.

Παρὰ δὲ τῷ Εὐαγγελιςῇ εὑρίσκεται.

„ Ὅς εἰπέ μοι πάντα, ὅσα ἐποίησα. Ἰωάν. δ΄.

„ Καὶ ἐπειδὴ αὐτῷ ἕτοιμα ἦν. πρόσθες πάντα. Θϋκιδ. β΄.

„ Ἐπειδὴ παρεσκεύαςο. Παρὰ τῷ αὐτῷ.

Παρατιθέμενα. „ Ἐσθίοντες ϗ πίνοντες τὰ παρ' αὐτῶν. λείπει τὸ παρατιθέμενα. Λϋκ. ί.

Παρών. „ Χειμῶνος, ἤδη ἀνεχώρησαν. ἀντὶ τῦ παρόντος χειμῶνος. Θϋκιδ.

Πατήρ. „ Ἄδρηςος ὁ Γορδίεω τῦ Μίδεω. ἤτοι Ἄδρηςος ἐγγονὸς τῦ Γορδίεω, ϗ ὑὸς τῦ Μίδεως, ἢ ἄλλως ϋ Ἀδρήςϋ πατὴρ ὁ Μίδας. Ἡροδ. Κλειώ.

„ Ἡ δὲ πόλις ἀπὸ Δαιδάλϋ τῦ Ἰκάρϋ, ἤτοι ἀπὸ Δαιδάλου πατρὸς τοῦ Ἰκάρϋ. Στέφανος.

„ Παρὰ τῶν ὑῶν Ἐμμὸρ τῦ Συχέμ. ἤτοι ϋ πατὴρ ὁ Συχέμ. Πράξ. ζ΄.

Πατρίς. Λείπει ἐν τῷ ή ἐμαυτῦ.

„ Οὐδὲ ἥτινα ἀρχὴν ἐν τῇ ἐμαυτῦ ἦρξα. Ἀῤῥιανὸς ά.

Πεδίον. Ἐν τῷ ἀγηνόριον.

„ Ἀθροισθέντες δὲ κατὰ τὸ ἀγηνόριον καλϋ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καλέμενον, δηλ. πεδίον. Ο᾽ αὐτὸς β.

Πέλαγος. Ε᾽ν τῷ Παμφύλιον, Ι᾽ώνιον, Αἰγαῖον, Σικελικὸν, Α᾽βυσσον, Στενόν.

„ Α᾽της δ᾽ ἄβυσσον πέλαγος. Αἰσχύλος.

„ Τὸ μὲν στενὸν τοῦτο, δηλ. πέλαγος, Ε᾽λλήσποντος ἀπ᾽ αὐτῆς καλείσθω. Λεκ. Διαλ. Ποσειδ. καὶ Νηρηΐδων.

„ Καταστάντος δὲ τοῦ Μίνω ναυτικοῦ πλωϊμώτερα ἐγένετο παρ᾽ ἀλλήλους. δηλ. τὰ πελάγη.

Περιβόητος, ἢ Μέγας. Ο᾽ πάνυ Α᾽λέξανδρος. Η᾽ρώδης ὁ πάνυ. λείπει τὸ περιβόητος, ἢ μέγας.

Περικεφαλαία. Ε᾽ν τῷ κυνέη, ἢ κυνῆ. καὶ ἐν τῷ φοινικίς.

Η᾽ φωνὴ αὕτη πολλάκις παρ᾽ Ο᾽μήρῳ λαμβάνεται ἀντὶ τῆς περικεφαλαίας, ἀλλὰ κυρίως ἐςὶν Ο᾽νομα Ε᾽πίθετον. κύνεος, κυνέη, κύνεον. Ο῞θεν ἡνίκα ἀντὶ τῆς δορᾶς λαμβάνεται, ὑπακουςέον τὸ δορά. ὅτε δὲ ἀντὶ τῆς περικεφαλαίας, τὸ περικεφαλαία. Ω῞ςε κυρίως περικεφαλαία ἡ ἐκ κυνὸς δορᾶς κατεσκευασμένη, καταχρηςικῶς δὲ ἡ ἐκ τῆς τυχέσης ὕλης γινομένη.

Κυνῆ γενικῶς πᾶν εἶδος περικεφαλαίας, ἀπὸ ἑνὸς εἴδους τῶν ἐκ κυνίου δέρματος πάλαι γινομένων.

Φοινικὶς παρὰ Α᾽ριςοφάνει. Εἰρ. ς΄. 1173. ἔνθα παρασημειοῦται ὁ Σχολιαςὴς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ςῆς περικεφαλαῖα Φοινικῷ χρώματι βεβαμμένη.

Πέτρα. Ἐν τῷ ὕφαλος.

Εἰς βασιλικὴν οἰκίαν, ὡς εἰς σκόπελόν τινα, καὶ κρημνὸν, καὶ πέλαγος ὑφάλων γέμον, καὶ σπιλάδων.

Πλακουντάριον. Ἐν τῷ ἐπίπαςον, τὸ δὲ πλακοῦς ἐν τῷ ναςὸς, γαμήλιος.

„ Λείχειν ἐπίπαςα, πρόθες πλακουντάρια. Ἀριςοφ. Ἱπ. 103.

„ Γαμήλιος ὁ εἰς τοὺς γάμους πεσσόμενος πλακοῦς. Ἡσύχιος.

Πληγή. Ἐν τῷ καιρία. καὶ ἄλλοις.

„ Ἐτρώθη καιρίαν, δηλ. πληγήν. Αἰλ. Ποικ. Ἱςορ. ιβʹ.

„ Ὁ δὲ παῖς παίει καιρίᾳ τὸν Ἱππαρῖνον. ΠαρΘ. Ἐρωτ. κδʹ.

„ Ὡς οἱ καιρίη ἔδοξε τετύφθαι, εἴρετο ὁ Καμβύσης. Ἡρόδοτος Θαλείᾳ.

„ Ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον, δηλ. πληγάς. πρὸς Κορ. βʹ. ιάʹ.

„ Ἐκεῖνος ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα. καὶ μὴ ἑτοιμάσας, μὴ δὲ ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ, δαρήσεται πολλάς. δηλ. πληγάς.

„ Ὁ δὲ μὴ γνοὺς, ποιήσας δὲ ἄξια πληγῶν δαρήσεται ὀλίγας. Λουκ. ιβʹ.

„ Καί με κακίςαις ἔκνισε, τουτέςι πληγαῖς. Ἀριςʹ. Σφ. 1227. ὀλίγας παίειν. Ξενοφ.

„ Παίει

„ Παίει με κ‍ατὰ τῶν προσώπων, μάλα βιαίως, καὶ ἐπάγει δευτέραν, δηλ. πληγήν.

„ Παῖς δὲ ὑπό τινος κολαθεὶς, εἰ τῷ πατρὶ ἐξήγγειλεν, αἰσχρὸν ἦν, τῷ πατρὶ, μὴ προσεντεῖναι ἀκούσαντα πάλιν ἑτέρας. Πλουτάρχου Ἀποφθέγματα Λακωνικά.

Πλῆθος. Ἐν τῷ πεζικὸν, ἱππικὸν, ναυτικὸν, ξενικὸν, ἀγροικικὸν, στρατιωτικὸν, ὑπήκοον.

„ Ἱππικὸν δέ σοι, ὅπερ κράτιστον τῶν Μήδων, σύμμαχον ἔσται. Ξενοφ. Κύρου Παιδ. ά.

„ Τῷ μὲν Μιθριδάτῃ τὸ ναυτικὸν ἐφορμεῖν ἐκέλευσε. Δίων Κάσσιος λζ'.

„ Τότε τοὺς ἰοὺς ἀφίησιν εἰς τὸ ἑλληνικόν. Μάξιμος Τύριος λ'.

„ Τὸ δ' ἐν Κορίνθῳ ξενικὸν οὐχ οὗτος τρέφει; Ἀριστοφ. Πλ.

Πλοῖον. Ἐν τῷ ἐπιτρέπειν πνεύματι, ἐπιδιδόναι, καὶ ἐνδοῦναι ἀνέμῳ τοῦ κυβερνήτου ἐνδόντος, ἀντὶ τοῦ, τοῦ κυβερνήτου ἐνδόντος τὸ πλοῖον τῷ ἀνέμῳ. Ἡλιοδ. Αἰθιοπ. ά.

„ Ἐπιδιδόντες ἐφερόμεθα, ἀντὶ τοῦ, ἐπιδιδόντες τὸ πλοῖον τῷ ἀνέμῳ. Πράξ. κζ'.

Πλοῖα. Ἐν τῷ ὑπηρετικά.

„ Πέμπων δὲ ὑπηρετικὰ παρὰ τὰς πρῴ-

ίας τῶν νεῶν. Πλούταρχος ἐν Λυσάνδρῳ.

Πνεῦμα. Ἐν τῷ δαιμόνιον ἀντ' ἐπιθέτου λαμβανόμενον. καὶ γὰρ φαμὲν δαιμόνιον γένος, καὶ δαιμονία τύχη, καὶ δαιμόνιος ὁ ἀνήρ.

Πνοή. Ἐν τῷ ἐξ οὐρίας πλεῖν, καὶ οὐρίᾳ θεῖν. τουτέστι ἐξ οὐρίας πνοῆς, καὶ οὐρίᾳ πνοῇ.

Πόθος. „ Οἵσου τρεχόμεθ' ἤδη τρία καὶ δέκα ἔτη. λείπει τὸ πόθῳ. Ἀριστοφ. Εἰρ. 989.

Ποιητής. Ἐν τῷ Τραγικὸς, Κωμικὸς, Κύκλιος.

Ποίησις. Ἐν τῷ Τραγικὴ, Κωμική.

Ποίημα. Ἐν τῷ Ἐπιτάφιον, Ἐπιθαλάμιον.

„ Τοὺς Κυκλίους τούτους, τοὺς αὐτὰρ ἔπειτα λέγοντας.

„ Μισῶ λωποδύτας ἀλλοτρίων ἐπέων. Ἐπιγρ.

Ποινή. Ἐν τῷ ἀποτίνειν.

„ Ἵνα βλαφθεὶς ἀποτίσῃ. Ἰλ. ά.

Ἔνθα φησὶν ὁ Εὐστάθιος. ἐλλειπτικῶς εἴρηται, ἵνα δηλῇ, τὸ ἀποδώσῃ ποινήν.

„ Οὕτω. τετραπλασίαν τίνειν. δηλ. ποινήν. Πλάτων ἐν Νομ. ιά.

„ Τῷ σὺ τὴν ὁμοίην ἀποδιδοὺς ἔπαινον ἕξεις. Ἡροδ. θ'.

Πόλεμος. Ἐν τῷ ἐμφύλιος. ἐν τῷ συνάπτειν, ἀντὶ τοῦ συνάπτειν πόλεμον. ἐν τῷ ἐξιέναι, ἀντὶ τοῦ ἐξιέναι εἰς πόλεμον. ἐν τῷ καταλύειν δηλ. πόλεμον.

Ἐλε-

Πόλις. Ἔλεγεν Ἐτεοκλῆς ὁ Λάκων, δύο Λυσάνδρους τὴν Σπάρτην μὴ ἂν ὑπομεῖναι. καὶ Ἀρχέστρατος ὁ Ἀθηναῖος ἔλεγε δύο Ἀλκιβιάδας τὴν τῶν Ἀθηναίων, δηλονότι τὴν πόλιν τῶν Ἀθηναίων.

„ Ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἀντὶ τοῦ ἐν Βηθλεὲμ πόλει τῆς Ἰουδαίας.

„ Καισάρεια ἡ Φιλίππου, ἀντὶ ἡ πόλις τοῦ Φιλίππου.

Πολιτεία. Ἐν τῷ ἴσῃ καὶ ὁμοίᾳ. Θουκιδ. δ'.

„ Τῆς ἴσης καὶ ὁμοίας μετέχοντα. λείπει κατὰ τὸν Σχολιαστὴν πολιτείας.

Πολύς. Ἐν τῷ διὰ χρόνου.

„ Διὰ χρόνου γὰρ καὶ ἑωράκειν αὐτόν. Πλάτων Πολ. ά.

„ Ὅταν ἴδωσιν ἀλλήλους διὰ χρόνου. Ξενοφ. Κυροπαιδ. ά.

„ Καὶ οὐκ ἠθέλησεν ἐπὶ χρόνον, δηλ. πολύν.

„ Ἔβας, ἔβας, ὦ χρόνῳ γᾶν πατρῴαν. Εὐρι. Φοιν. 302.

Ἀντὶ τοῦ ἐπὶ πολλῷ χρόνῳ. Ἰὼ τέκνον χρόνῳ.

Σὸν ὄμμα, μυρίαις τ' ἀμέραις προσεῖδον. ὁ αὐτὸς 311.

Πόνος. Ποιηταῖς ἐπῶντε καὶ μελῶν καὶ ὅσοι ἀμφὶ ᾠδὴν ἔχουσι, πολὺς πόνος ποιεῖντε ἔσαι καὶ ᾄδειν Ἀλέξανδρον. ἀντὶ τοῦ ὅσοι ἀμφὶ ᾠδὴν ἔχουσι πόνον. Τὸ τοῦ Ἀῤῥιανοῦ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

**Ποταμός.** Ἐν τῷ κελάδων, καὶ χείμαῤῥος, καὶ ἀένναος, καὶ δινήεις.

**Ποτήριον.** Ἐν τῷ μικροῖς καὶ μεγάλοις.

„Καὶ θαυμάζειν φησὶ, πῶς Ἕλληνες ἀρχόμενοι μὲν ἐν μικροῖς πίνουσι, πλησθέντες δ' ἐν μεγάλοις. δηλ. ποτηρίοις. Λαέρτιος Ἀνάχαρ.

**Πότος.** „Ὅταν δ' ὑπνώσῃ Βακχίῳ νικώμενος. ἤτοι βακχίου πότου. Εὐριπ. Κύκλωψ. 453.

„Προϊόντος, δηλ. πότου. παρὰ Θεοκρίτῳ Εἰδυλ. ιδ'. 18.

**Ποῦς.** Ἐν πολλοῖς ἡ φωνὴ αὕτη παραλείπεται.

„Ἐν τῷ δύο, καὶ ἀμφότεροι.

„Ἐπὶ τοὺς δύο ἐπαινισάμενον ὀρθόν. δηλ. πόδας. Λούκιος, ἢ Ὄνος.

„Ἐδίωκον ἀμφοτέροις εἰς ἐμὲ ἀπολακτίζοντες, δηλ. ποσί. ὁ αὐτός.

„Σχοῖμι δ' ἐγὼ καὶ κοινὰς ἐπ' ἀμφοτέροισιν ἀμύκλας. Θεοκρ. Εἰδυλ. ι.

„Ἐπ' ἀμφοτέροισι δὲ βεβακώς. Ὁ αὐτὸς ιδ'.

Καὶ ἐν τῷ προσκόπτειν, ἀναστρέφειν, βαίνειν, κάμπτειν, ἐν οἷς συνυπακούειν χρὴ τὸν πόδα.

**Πρᾶγμα.** Οὐδενὸς οὕτω, ὡς τῆς φωνῆς ταύτης συνεχὴς εὑρίσκεται ἡ ἔλλειψις. λείπει γὰρ ἐν τῷ συμφέρον, πονηρὸν, κοινὸν, μωρὸν, δυνατὸν, θαυμαστὸν, τὸ ἐμὸν,

εἰς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἰς κοινὸν, ὅλον, ϗ τὰ λοιπά.

„ Τοῖς ὅλοις ἐλαττȣ͂σθαι. δηλ. πράγμασι. Διόδ. ιζ.

„ Ἀνθ' ὧν, δι' ὧν. δηλ. πραγμάτων.

„ Οὐκ οἶδα, ὅτι χρήσομαι τῷ παρόντι. δηλ. πράγματι.

„ Τὸ τῆς ἐλευθερίας, τὸ τῆς ὀργῆς, τὸ τῆς τιμωρίας, τὰ τῆς πόλεως, τὰ τῶν ἀνθρώπων. πρόσθες πράγματα.

Ἐν τῷ κατεπείγειν. ἤτοι κατεπείγει τὸ πρᾶγμα.

Ἐν τῷ πράττειν, εὖ πράττειν, ἄριστα πράττειν, κακῶς πράττειν.

Ἐν τῷ ἐπ' αὐτοφώρῳ. οἷον, ἐπαυτοφώρῳ μοιχευομένη, δηλ. πράγματι.

Οὗτος τὴν ἑαυτȣ͂ γυναῖκα προαγωγεύων ἐπ' αἰσχροῖς. δηλ. πράγμασι.

Ἐν τῷ ἐγκύκλια, ὑπακȣστέον τὸ πράγματα.

„ Οἱ δὲ τȣ̀ς χρῆσθαι τοῖς πράγμασι ἐπισαμένȣς, ȣ̓ μόνον δὲ ἐν τοῖς ἐγκυκλίοις (δηλ. πράγμασι) ϗ τοῖς καθ' ἡμέραν γινομένοις αἱ μοναρχίαι διαφέρȣσι. Ἰσοκρ. πρὸς Νικ. β'.

„ Ἐν τῷ, ἐν τȣ́τοις, ϗ ἐν οἷς, ἐν τοῖς κοινοῖς, ἐν τοῖς ἀξίοις, ἐπηνώρθωσαν γὰρ τὰ κοινά. Αἰλιανός:

„ Ἐπ' ἀξίοις (δηλ. πράγμασι) ἄρ' ἀνευφημεῖ δόμοις. Εὐριπ. Ὀρ. 1337.

Πρα-

**Πρᾶξις.** Ὥσπερ ἐν τῷ κενῷ συνυπακούεται τὸ πρᾶγμα, οὕτω ἐν τῷ διὰ κενῆς, τὸ πράξεως.

**Πρέσβεις.** Ἐν τῷ ἐπιστέλλειν. ᾧ συνυπακούεται, καὶ τὸ ἐπιστολὰς, ἢ γράμματα.

**Πρόθεσις.** Ἐν τῷ ἡ πρὸς, ἡ παρὰ, ἡ ἀντί. ὅπερ σύνηθες τοῖς Σχολιασταῖς.

**Πρόποσις.** Ἐν τῷ ἀγαθοῦ δαίμονος. λέγεται γὰρ λαβεῖν, διδόναι, πίνειν, προπίνειν, ἀγαθοῦ δαίμονος, δηλ. πρόποσιν.

„ Νῦν γὰρ ἡμῖν ἁρπάσαι πάρεστιν ἀγαθοῦ δαίμονος. Ἀριστοφ. Εἰρ.

**Πρόσωπον.** Ἐν τῷ συγκύπτειν, ἀνακύπτειν, ὅτε ἀπολύτως τίθεται. καὶ ἐν τῷ σκυθρωπόν.

„ Καὶ ἦν γυνὴ συγκύπτουσα, καὶ μὴ δυναμένη ἀνακύψαι εἰς τὸ παντελές. Λουκ. ιγ'.

„ Δέδια τὸ σκυθρωπὸν αὐτοῦ καὶ κατηφές. Λουκιανός.

Καὶ ἐν τῷ ἀπηνὲς, καὶ ἀπαραίτητον.

„ Φοβοῦμαι γὰρ αὐτοῦ τὸ λίαν ἀπηνὲς καὶ ἀπαραίτητον. Ἰουλ. Καισ.

**Πρυμνήσια.** Ἐν τῷ λῦσαι.

„ Λύσαντες ἐκ Μουνυχίας. δηλ. τὰ πρυμνήσια σχοινία. Αἰσχίν. πρὸς Φιλοκρ.

„ Λύσαντες ἐκ Βενδιδείου. Συν. Ἐπιστ. δ'.

**Πυγή.** „ Ἀλλ' ἐπαναίρου.

„ Κᾶτα καθίζου μαλακῶς, ἵνα μὴ τρί-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τρίβης τὴν ἐν Παλαμῖνι. πρόσθες πυγὴν κατὰ τὸν Σχολιαστήν. Ἀρισοφ. Ἱπ. 788.

„... Ἀποψώμεθα δ' ἐ λίθοις ἔτι,
Ἀλλὰ σκοροδίοις ὑπὸ τρυφῆς ἑκάστοτε. ὁ αὐτὸς Πλ. 818.

Πύλη. Ἐν τῷ προβατικῇ, σκαιᾷ.

„ Ἔσι δὲ ἐν τοῖς Ἱεροσολύμοις ἐπὶ τῇ προβατικῇ (πύλῃ) κολυμβήθρα. κατὰ τὰς Ο': εὑρίσκεται ἀνελλιπῶς. καὶ ᾠκοδόμησαν τὴν πύλην τὴν προβατικήν. Νεεμίυ Κεφ. γ'.

„ Τῷ δὲ διὰ σκαιῶν πεδίον δ' ἔχον ὠκέας ἵππυς. Ἰλ. γ'. 263.

Πυρετός. Ἐν τῷ τριταῖος, τεταρταῖος, παρὰ Ἱπποκράτη.

Πῶμα. Ἐν τῷ ἱλασήριον. ἵνα ᾖ κάλυμμα, ἢ ἐπίθεμα ἱλασήριον, ὡς παρὰ τοῖς Ο. ἐν Ἐξόδῳ κέ. 17.

„ Ὑπεράνω δὲ αὐτῆς Χερυβὶμ δόξης ἐπισκιάζοντα τὸ ἱλασήριον. πρὸς Ἑβρ. θ'.

## Ρ.

Ῥῆμα, Ὄνομα. Αἱ φωναὶ αὗται συνυπακούονται τῷ Προτακτικῷ Οὐδετέρῳ Ἄρθρῳ. οἷον, τὸ βίβλος. τὸ πόλις. εὖ εἰρημένον τὸ, ἑλῦ βίον τὸν ἄρισον. ἀντὶ τῦ, τὸ ὄνομα βίβλος, τὸ ὄνομα πόλις, καὶ τὰ λοιπά.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΚΡΗΤΗΣ

τὸ γράφω ῥῆμα. τὸ γνωμικὸν ῥῆμα, ἑλȣ̃ βίον ἄριςον.

Λείπει. ἐν τῷ διὰ βραχέων, δι' ὀλίγων, διὰ πλειόνων, διὰ πολλῶν.

„ Καὶ διὰ βραχέων λεκτέον. Λουκ. Τόξ.

„ Βραχέα σου πυθέσθαι βȣ́λομαι. Ἀριςοφ. Νεφ. 154.

„ Διὰ βραχέων ἐπέςειλα ὑμῖν. πρὸς Ἑβρ. ιγ'.

„ Δι' ὀλίγων ἔγραψα. Πέτρȣ Ἐπις. ά. έ.

Ἐν τῷ πολλά. οἷον, λοιδορεῖσθαι, ἐπισκώπτειν; καταρᾶσθαι πολλὰ, ἤγȣν ῥήματα.

„ Γελᾷ δ' ἀεὶ, κὴ τὰ πολλὰ τȣ̀ς ἀλαζόνας τȣ́τȣς φιλοσόφȣς ἐπισκώπτει. Λȣκ.

„ Ἐνίοτε καὶ; τὸ ὅλον ἀναπαίςοις μέτροις ἐποχȣμένη τὰ πολλὰ τȣ̀ς τοῦ διαλόγȣ ἑταίρȣς ἐχλεύαζεν. ὁ αὐτὸς κατ' Προμηθ.

„ Πολλὰ καταρασάμενος ἀνδράσι πονηροῖς, Ἀριςοφ. Λυσ. 818.

Καὶ τὸ τȣ̃ Κρατίνȣ, δηλ.-ῥῆμα. ὁ αὐτός.

„ Ἐν τῷ φιλάνθρωπα.

„ Καὶ τȣ́τȣ φιλάνθρωπα (ῥήματα) ἐπιςέλλει Ἀλέξανδρος. παρὰ Ἀῤῥιανῷ Βιβλ. γ'.

„ Ἐν τῷ ὑπολαμβάνειν.

„ Ὑπο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„ Ὑπολαβὼν ἓν ἔφη Πολύκλειτος. Αἰλιανὸς Βιβλ. γ΄.

Ἀντὶ τοῦ ὑπολαβὼν τὸ ῥῆμα, ἢ ῥήματα, ἢ τὸν λόγον.

„ Ἐν τῷ ὑπέρογκα, μεγάλα, καθ' ἃ, καθημαξευμένα. ἐν οἷς λείπει τὸ ῥήματα. καθημαξευμένα δὲ ῥήματα τὰ δημώδη καὶ ἀχρεῖα, καὶ τὸ ἐξ ἁμάξης λοιδορησάμενος.

„ Ὑπέρογκα γὰρ ματαιότητος φθεγγόμενοι. Π. Ἐπισ. β΄. Κεφ. β΄.

Στόμα λαλοῦν μεγάλα, καὶ βλασφημίας. Ἀποκαλ. ιγ΄.

...ῆσις. Λείπει ἐν τῷ μακράν. ὅθεν ὅταν εἴπῃ τις, μακρὰν λέγειν ὑπακουστέον τὸ ῥῆσιν. τὸ γὰρ μακρὰν οὐκ ἔστιν Ἐπίρρημα, ὥστινες βούλονται. ἀλλ' Αἰτιατικὴ Πτῶσις τοῦ μακρὰ Ὀνόματος. Ὅπερ ἀνελλιπῶς εὑρήσεις παρὰ Λουκιανῷ ἐν τῷ Προμηθεύς, καὶ κατ' ἔλλειψιν τῷ αὐτῷ ἐν τῷ Τίμωνι.

„ Λέγε μὴ μακρὰ μέντοι, μηδὲ μετὰ Προοιμίων.

...υθμός. Ἐν τῷ ἐνόπλιος.

„ Ὀρχήσασθαι ἐνόπλιον. δηλ. ῥυθμόν. Καλλίμαχος ἐν Ὕμνῳ Ἀρτέμιδος. Ὁ δὲ Σχολιαστὴς τοῦ Ἀριστοφάνους φησὶ ἐν Νεφ. ϛ΄. 651. κατενόπλιον. εἶδος ῥυθμοῦ, πρὸς ὃν ὠρχοῦντο σείοντες τὰ ὅπλα. πρόσκειται παρὰ Ξενο-

φῶν-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

φῶντι, Ἀναβ. ϛ'. ἐξοπλισάμενοι ὡς ἐδύναντο κάλλιστα, ᾔεσάν τε ἐν ῥυθμῷ, πρὸς τὸν ἐνόπλιον ῥυθμὸν αὐλούμενοι.

## Σ.

Σάλπιγξ. Ἐν τῷ κερατίνῃ κατὰ τὸν Σύμμαχον Ψαλμῷ ρν'. αἰνεῖτε Κύριον δι' ἤχου κερατίνης.

Σεαυτόν. Ἐν τῷ ἄπαγε, ὕπαγε, ἅπερ δοκοῦσι Ῥήματα εἶναι, καὶ οὐκ Ἐπιρρήματα κατά τινας τῶν Γραμματικῶν. δηλοῖ δὲ καὶ τὸ τοῦ Ἀριστοφάνους.

„ Ἄπαγε σαυτὸν ἐκ ποδῶν.

Καὶ ἐν τῷ βάλλε.

„ Βάλλ' εἰς μακαρίαν, δηλ. σαυτόν. Ἰουλ. Καίσ.

Σελήνη. Ἐν τῷ φωσφόρος.

Σημεῖον. Ἐν τῷ κατὰ τί. καὶ ἐν τῷ παρθένια.

„ Κατὰ τὶ γνώσομαι τοῦτο, ἤτοι κατὰ τὶ σημεῖον. Λουκᾶς α'. 18.

„ Τὴν γυναῖκα ταύτην εἴληφα, καὶ προσελθὼν αὐτῇ οὐχ εὕρηκα αὐτῆς τὰ παρθένια. Δευτερον. κβ'. 14.

Σκέλος. Ἐν τῷ ἀπαίρειν, καὶ διαίρειν.

„ Ὁ δὲ Ἄμασις ἀπάρας ἀπεματάϊσε.

„ Παρασείοντα δὴ δεῖ τοὺς τοιούτους τῶν ἀνθρώπων, καὶ διαράμενον ἀπαλλάττεσθαι. Θεόφρ. Χαρακ. γ'.

Σκε-

Σκεπτέον. „ Μήποτ᾽ οὖν κρεῖττον ἦν λέγειν. Διονύσ. Ἀλικ. κά.

Ὅπου ὑπακουστέον πρὸ τοῦ μήποτε τὸ σκεπτέον, καθὰ δὴ καὶ πρὸ τοῦ ὅπως ἐν ἄλλοις.

Σκευή. Ἐν τῷ ὑποδεξίη.

„ Πᾶσα τοι ἔσθ᾽ ὑποδεξίη. δηλ. σκευή, ἢ σκευασία. Ἰλ. α.

Σκεῦος. Ἐν τῷ χρηστήριον, ποτήριον, θυμιατήριον. τὸ χρηστήριον ἔμπης, καὶ ἁπλῶς τίθεται, καὶ μετὰ προσθήκης τοῦ, σκεῦος.

„ Πολλὰ καὶ τῶν σωμάτων καὶ τῶν χρηστηρίων. δηλ. σκευῶν. Στράβων ιέ.

„ Καὶ χρηστήρια σκεύη. Πολυδεύκης.

Σκῦλα. Ἐν τῷ ἀνδράγρια.

„ Ἔσπετε νῦν μοι Μοῦσαι ὀλύμπια δώματ᾽ ἔχουσαι.

„ Ὅστις δὴ πρῶτος βροτόεντ᾽ ἀνδράγρι᾽ Ἀχαιῶν

„ Ἤρατο.

Ἀνδράγρια σκῦλα τὰ παρὰ ἀνδρῶν ἢ ἀπὸ ἀνδρῶν ἐγειρόμενα παρασημειοῦται ὁ Εὐστάθιος.

Σπέρμα. Ἐν τῷ συλλαμβάνειν.

„ Συνέλαβεν ἡ Ἐλισάβετ. δηλ. σπέρμα, ἢ βρέφος. Λουκᾶς ά. 24.

Στατήρ. Ἐν τῷ χρυσοῦς. καὶ ἐν τῷ δαρεικός.

„ Καὶ εἰ μὲν χρυσοῦς εἴποις προσακούεται τὸ στατήρ. Πολυδ. θ'.

„ Χιλίων δαρικῶν ἄξια ταῦτα. Αἰλ. Ποικ. Ἱστορ. ά.

Δα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Δαρεικοὶ οἱ χρυσοῖ ςατῆρες, ἐκλήθησαν δὲ, ὥς τινες φασὶν, ἀπὸ Δαρείȣ τȣ῀ τῶν Περσῶν Βασιλέως.

Σταυρός. Ἐν τῷ προσπήξαντες.

„ Ὃν προσπήξαντες, τῷ ςαυρῷ δηλονότι. Πράξ. β΄. 23.

Σταφυλή. Ἐν τῷ τρώξιμος.

„ Φοιτᾷ σινόμενα τὰν τρώξιμον. δηλ. ςαφυλήν. Θεοκ. Εἰδυλ. α΄.

Στέρνον. Ἐν τῷ κόπτεσθαί τινα.

„ Καὶ κόψονται ἐπ᾽ αὐτὸν πᾶσαι αἱ φυλαὶ τῆς γῆς, δηλ. τὰ ςέρνα. Ἀποκαλ. α΄.

„ Ἐσπάρατε τὰς κόμας, καὶ τὰ ςέρνα ἐκόπτετο. ἀνελλιπῶς παρὰ Λȣκιανῷ.

Στοά. Ἐν τῷ αἴθȣσα.

„ .... Ἕτερον μὲν ὑπ᾽ αἰθούσῃ, δηλ. Στοᾷ Ἰλ. α.

Αἴθȣσα Στοὰ ἡλίῳ αἰθομένη, ὃ ἐςὶ λαμπομένη. Εὐςάθιος.

Στόμα. Ἐν τῷ ὄζειν.

„ Τȣ῀ μὲν γὰρ (τὸ ςόμα ὀσμὴν) ὄζει κρομμυοξυρεγμίας.

„ Ταύτης δ᾽ ( ) ὀπώρας ὑποδοχῆς Διονυσίου.

Στράτευμα. Ἐν τῷ Ἑλληνικὸν, ἱππικὸν, πεζικὸν, ὁπλιτικὸν, πελταςικὸν, καὶ ἐν τῷ ἄγειν.

„ Ἀλέξανδρος δὲ ἐπὶ τȣ̀ς ἄλλȣς Πισίδας ἦγεν. Ἀῤῥι. α΄. καὶ, ἄγειν ἤδη ἐκέλευε.

Στρατιῶται. Ἐν τῷ ψιλοὶ, ὅπερ ἀντίκειται τῷ ἱππεῖς.

„ Δὺς αὐτῷ ἱππέας τε καὶ ψιλὺς, ὅσοι ἱκανοὶ ἐδόκυν. Ἀῤῥι. ά.

Στρατός. Ἐν τῷ σύμμικτος, ἐπίμικτος, ξενικὸς, καὶ ἐν τῷ ςέλλειν.

„ Καὶ ἀνέςρεψε μετ᾽ αὐτῶν αὐτὸς, καὶ πᾶς ὁ σύμμικτος αὐτῦ. Ἰυδίθ. ά.

„ Ἀκύω ξενικὸν τρέφειν ἐν Κορίνθῳ τὴν πόλιν. Δημ. Φιλ. ά.

„ ὡς ἀπ᾽ Ἰνάχυ.

„ Στείλας ἐπεςράτευσε Καδμείων πόλιν. Εὐριπ. Ἱκ. 645.

Συγγράμματα. Ἐν τῷ, τὰ τῦ Θυκιδίδυ, τὰ τῦ Ἡροδότυ, τὰ τῦ Ἀριςοτέλυς.

„ Ἀναξαγόρας ἐν τῷ περὶ Βασιλείας, δηλ. Συγγράμματι. Αἰλ. Ποικ. Ἱς. δ΄.

Συμβόλαια. Ἐν τὸ ἐφ᾽ οἷς.

„ Ἴσασι γὰρ ἐφ᾽ οἷς αὐτὺς Κυαξάρης ἄγεται. Ξενοφ. Κυροπ. ά. 6.

Συμπόσια. Ἐν τῷ γενέθλια, ἢ γενέσια.

„ Καὶ γὰρ ὅτε εἱςίας σὺ τοὺς φίλους ἐν τοῖς γενεθλίοις. Ὁ αὐτός.

„ Γενεσίων δ᾽ ἀγομένων τοῦ Ἡρώδυ, ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρωδιάδος ἐν τῷ μέσῳ. Ματθ. ιδ΄.

Συμφέρον. Ἐν τοῖς Ἀποςόλυ. Μηδεὶς τὸ ἑαυτῦ ζητείτω, ἀλλὰ τὸ τῦ ἑτέρυ ἕκαςος. καὶ μὴ τὰ ἑαυτῶν ἕκαςος σκοπεῖτε, ἀλλὰ τὰ τῶν ἑτέρων ἕκαςος. Πρὸς Κορινθ. ί. καὶ πρὸς Φίλιπ. β΄.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Συντέλεια. „Οὐδ' αὐτοὶ ἀπὸ τῆς ἴσης στρατείας ἐποιοῦντο. Θουκιδ. ά. ἔνθα φησὶν ὁ Σχολιαστής. ἀπὸ τῆς ἴσης λείπει τὸ συντελείας.

Σχῆμα. Ἐν τῷ ἐπίπεδον, τρίγωνον, τετράγωνον, τρίπλευρον, ῥομβοειδὲς, τραπέζιον, παραλληλόγραμμον, ἡμικύκλιον, τετράεδρον, καὶ τὰ λοιπά.

Σχῆμα, ὁμώνυμον τῷ προτέρῳ. „Ἐν ἀγνῷ δεσμὸς ὡς πελειάδων ἧτοι ἐν ἀγνῷ σχήματι. Ἵζεσθε. Αἰσχύλος Ἱκ. 231.

„Στολὴ καὶ ἐσθὴς ἡ ἄλλη πρὸς τὸ ἑλληνικώτερον βλέπουσα. Ἡλ. Αἰθιοπ. β'.

„Τὸ φιλάνθρωπον αὐτοῦ. πρόσθες σχῆμα. Αἰλ. Ποικ. Ἱστορ. β'.

Σχοινία. Ἐν τῷ πρυμνήσια, ἢ πείσματα καθ' Ὅμηρον.

„Δὴ τότε κοιμήσαντο παρὰ πρυμνήσια νηός. Ἰλ. α. 476.

„Ἠοῖ ἐν τριτάτῃ πρυμνήσια νηὸς ἔδησαν. Ἀπολλώνιος Ῥόδιος δ'. 244.

„Πρυμναῖα νεὼς ἀπὸ πύσματ' ἔκοψαν. Ὁ αὐτὸς 208.

„Ἀπόγεια λύσασθαι. Λουκιανός.

Πρυμνήσια ἀπόγεια σχοινία, κατὰ τὸν Ἡσύχιον.

Σχολή. Φοιτᾷν εἰς διδασκάλου. Πλάτων ἐν Ἀλκιβιάδει. οὐ πεφοίτηκα εἰς ἄλλων ἢ τούτων, πολλάκις σου ἐν Διδασκάλου ἤκουον παιδὸς ὄντος. ὁ αὐτὸς καὶ εἰς Διδασκά-

δασκάλȣ Διονυσίου Γραμματικȣ̃ εἰσῆλθον. ἐν ἐρασαῖς ὁ αὐτός.

Σῶμα. Ἐν τῷ γυμνὸν, ἐν τῷ νεκρόν.

„ Καὶ εἷς τις νεανίσκος ἠκολȣ́θει αὐτῷ, περιβεβλημένος σινδόνα ἐπὶ γυμνȣ̃. δηλ. σώματος.

„ Νεκρὸν ὑπ' Αἴαντος ἐρύειν Τελαμωνιάδαο. Ἰλ. Π. 235.

„ Ὁρῶμεν ἀνθȣ̃ν πέλαγος Αἰγαῖον νεκροῖς.

Ἀνδρῶν ἀχαιῶν. Αἰσχύλος ἐν Ἀγαμέμνονι.

## Τ.

Τάγμα. Ἐν πλαισίῳ.

„ Τὴν φάλαγγα δ' ἐν πλαισίῳ Νικάνωρα ἄγειν ἐκέλευσε. Ἀῤῥιανὸς ά.

Ταμεῖον. Ἐν τῷ δημοσίῳ, ἐν τῷ κοινῷ.

„ Οὐδὲ χρήματα ἐν τῷ κοινῷ. δηλ. ταμείῳ κατὰ τὸν Σχολιαςὴν Θȣκιδ. ή. ά.

„ Οὕτω καὶ τὸ ὀφείλειν δημοσίῳ. δηλ. ταμείῳ.

Ταχύτης. Ἐν τῷ ῇ Ἄρθρῳ Ὑποτακτικῷ.

„ Ἧ ποδῶν ἔχȣσιν ἀποδιδράσκȣσιν. ἀντὶ τȣ̃ ῇ ταχυτῆτι ποδῶν. Αἰλ. Ποικ. Ἱςορ. ά.

Τεῖχος. Ἐν τῷ Πελαργικόν. ὃ λέγεται καὶ Πελασγικόν.

„ Τίς δ' ἂν καθέξει τῆς πόλεως τὸ Πελαργικόν. Ἀριςοφ. Ὀρ. 580.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Ἔνθα φησὶν ὁ Σχολιαστής. Ὅτι Ἀθήνησι τὸ Πελαργικὸν τεῖχος ἐν τῇ ἀκροπόλει. οὗ μέμνηται Καλλίμαχος. Τυρσηνῶν τείχισμα Πελαργικόν.

„ Τὴν ὑπὸ τῇ ἀκροπόλει σπήλυγγα ἀπολαβόμενος, οἰκεῖ μικρὸν ὑπὸ τοῦ Πελασγικοῦ. Λουκ. Δισκατηγορούμενος.

Πελασγικὸν τόπος Ἀθήναις ἀπὸ Πελασγῶν ἐν αὐτῷ οἰκησάντων. γράφεται καὶ διὰ τοῦ ρ.

**Τέκνον.** Ὅρα ἐν τῷ υἱός.

**Τέλος, ἢ πέρας.** Ἐν τῷ ἔσχατον.

„ Ἐν πάσῃ τῇ Ἰουδαίᾳ, καὶ Σαμαρείᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς. δηλ. πέρατος. Πράξ. ά.

„ Κατῴκισεν αὐτοὺς ἐν τοῖς ἐσχάτοις τῆς ἐρήμου χώρας. Διόδ. Σικ. ά.

**Τέλος ὁμώνυμον τῷ προτέρῳ.** Ἐν τῷ δημόσιον.

**Τεμάχη.** Θυννεῖα θερμά. δηλ. θυννεῖα τεμάχη. Ἀρισοφ. Ἱπ. 353.

**Τέμενος.** Ἐν τῷ, μητρῷον, ἡρῷον, ἴσειον, ἀμαζόνειον, ἀνάκειον, θησεῖον, μελανίππειον.

**Τεταγμένος, ἢ ὤν.** Ὁ ἐπὶ τῶν δεσμῶν. παρ' Ἀχιλλεῖ τῷ Τατίῳ. λέγεται δὲ καὶ ὁ ἐπὶ τούτων κἀκείνων.

**Τέχνη.** Σεσίγηται ἐν πολλοῖς Ἐπιθέτοις, ὥσπερ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σπερ καὶ ἡ κακοτεχνία. οἷον, ἰατρικὴ, ὑφαντικὴ, ἱππεία, γραμματικὴ, μουσικὴ, λογικὴ, τοξικὴ, μαντικὴ, κυβευτικὴ, γοητευτικὴ, σχοινοβατικὴ, καὶ ἄλλαις.

„ Ἐπὶ τῇ ἱππείᾳ μέγα ἐφρόνει. Αἰλ. Ποικ. Ἱς. β'.

Τιμή. Ἔθος ἐςὶ τοῖς Ἕλλησι προσυπακούειν ἐν τῷ ἀξίαν, τὸ τιμήν.

„ Ἔδοξε δ' οὖν καὶ τὴν ἀξίαν ἕκαςον τιμᾶσθαι. Ξεν. Κυροπ. β'.

Καὶ ἐν τῷ ἴσην. ὅθεν ἀνεφύη τὸ, ἰσοτιμία.

Τίμημα. Ἐν τῷ πολλοῦ, ὀλίγου, πόσου. ἤτοι τιμήματος, ἢ ἀργυρίου. καὶ ἐν τῷ, ἀντάξιον.

„ Πόσου νῦν ὁ πυρός ἐςιν ὤνιος ἐπὶ τῆς Ἑλλάδος. Λουκ. Ἰκαρομέν.

„ Ὅπως ἀντάξιον ἔςαι. δηλ. τίμημα. Ἰλ. α. 136.

Τιμωρία, ἢ ποινή. Οὐ μόνον ἐν τῷ ἀξία συνυπακούεται τὸ τιμὴ, ὡς ἀνωτέρω εἴρηται. ἀλλ' ἔτι καὶ τὸ τιμωρία, ἢ ποινή.

„ Ἀπέθανες εἰ τῆς ἀξίας ἐτύγχανες. λείπει τιμωρίας κατὰ τὸν Σχολιαςήν. Ἀριςοφ. Ὄρ. 1223.

„ Ὑφέξω τὴν ἀξίαν. καὶ ἥκομεν ἐπ' αὐτὸν, ὡς ὑπόσχῃ τήν.

Ἀξίαν, ὧν δέδρακε.

„ Ἀλλ' ἐγκονῶμεν ἄνδρες, ὡς ἔςαι



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λάχητι νυνί. δηλ. ποινή. Ἀριστοφ. Σφ. 240.

**Τίς, Τί.** Πολλὴ καὶ συνεχὴς ἡ τούτου ἔλλειψις.

„ Καὶ μὴν προσελθέτω πρός ἐμ' ὑμῶν ἐνθαδί. δηλ. τὶς ἐξ ὑμῶν. Ἀριστοφ. Πλ.

„ Καὶ θανατώσουσιν ἐξ ὑμῶν. δηλ. τινάς. Λουκ. ιά.

„ Οὐ γὰρ εἰσήχθη τοῦ αἵματος αὐτοῦ εἰς τὸ ἅγιον. ἀντὶ τοῦ τὶ ἐκ τοῦ αἵματος. Λευϊτ. ί.

„ Δὸς τῷ φαλακρῷ τῶν τρωγαλίων. ἀντὶ τοῦ, τὶ τῶν τρωγαλίων. Ἀριστοφ. Εἰρ. 680.

„ Καὶ ἐξ αὐτῶν ἀποκτενεῖτε. Ματθ. κγ'.

„ Λάβε δὲ σεαυτῷ ἀπὸ τῶν πρεσβυτέρων τοῦ λαοῦ. δηλ. τινάς: Ἔξοδ. ιζ'.

„ Καὶ ἐὰν ὑποστείληται, δηλ. τὶς, οὐκ εὐδοκήσει ἡ ψυχή μου ἐν αὐτῷ. πρὸς Ἑβρ. ί.

„ Ὃς ἔλαβεν ἐκ τῶν θυγατέρων Λευί. δηλ. τινά. Ἔξοδ. β'.

„ Ὥς' εἶπ' ἀνὴρ τῶν ῥητόρων ἰδών με τοῦτο δρῶντα. Ἀριστοφ. Ἱπ. 423.

„ Ἄνδρας τε ἀποβάλλουσι σφῶν αὐτῶν. Θουκιδ. β'. ζ'. ή.

**Τοῖος, ἢ Τοιοῦτος.** Λείπει ἐν πολλοῖς πρὸ τοῦ οἷος.

„ Τίνα μέν ται, τίνα παρὰ τῶν, οἷος αὐτὸς προσήκει θαυμάζεσθαι, ἀντὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὶ παρὰ τῶν τοιύτων, οἷος αὐτὸς εἶ.

„ Τὸν σώφρονα, τὸν οἷός ἐςι. ἀντὶ τῦ, τὸν τοιῦτον οἷος ἐςί. Συνέσιος. Λόγῳ περὶ ἀρετῆς. Καὶ περὶ οἷον χρῆ, εἶναι τὸν ἄνδρα ἀγαθόν. Πλάτ. Συμπ.

„ Οὐκ ἔςιν ἀνδρὶ οἵῳ Σωκράτει ψεύδεσθαι. ἀντὶ τῦ, ὐκ ἔςιν ἀνδρὶ τοιύτῳ ψεύδεσθαι, οἷος ὁ Σωκράτης.

„ Χαριζόμενος, οἵῳ σοι ἀνδρί. ἀντὶ τοιύτῳ οἷος εἶ σύ. Ξενοφῶν.

„ Ε῎ςι μὲν ὦ Τόξαρι ὐ φαῦλον τὸ ἔργον ἀνδρὶ, οἵῳ σοι πολεμιςῇ μονομαχῆσαι, ἀντὶ τῦ, τοιύτῳ. Λουκιαν. Τόξ.

„ Οὐ γὰρ ἦν οἷος ἀπὸ παντὸς κερδᾶναι. Ξενοφ.

„ Ταῦτα μὲν οἷα ἀπιςεῖσθαι. Α᾽ριςοτ.

Τὸ δὲ οἷος πρὸ Υ῾περθετικῦ Ο᾽νόματος τιθέμενον ἐπίτασιν ποιεῖ. οἷον, οἷος ἄριςος. ὡς ἂν εἴποις λίαν ἄριςος.

Πρὸ δὲ τοῦ τε Συνδέσμυ ἰσοδυναμεῖ τῷ δυνατός.

„ Οὐχ οἷός τε εἰμὶ τόδε ἢ τόδε ποιεῖν.

„ Ο᾽ὐχ οἷόν τε ἐςί.

Τοῖχος. Ἐν τῷ ἀντίθυρος.

„ Εἰς δὲ τὸν ἀντίθυρον ἡ ἄλλη πληθύς. Λυκ. Συμπ.

Τόκος. Ε῎κτε καὶ ὀψὲ τελεῖ, σύν τε μεγάλῳ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀπέτισαν. Ἰλ. δ'. 161.

„ Λαμβάνουσιν ἐπὶ πολλῷ παρ' ἑτέρων δηλ. τόκῳ Πλούταρχος.

Τόπος. Ἐν τῷ ἔρημος, πετρώδης, καθαρὸς, ἄποπτος, κρυπτὸς, ἐπιχώριος, ὕπαιθρος, καλὸς, αὐτὸς, ἱκανὸς, ἐπήκοος, ἀσφαλὴς, πιτυόεις, συλιεῦς, μυρρινοῦς, σχοινοῦς, ὑπερδέξιος, ἴσος, μέσος, παράβυστος. καὶ εἴτι ἄλλο.

„ Οὐ δὲ ἐν τῷ τῆς φύσεως ἐπιχωρίῳ μένειν ἐῶντες. Μάξ. Τύρ. ιβ'.

„ Κεῖτο βαρυστενάχων ... ἐν καθαρῷ. Ἰλ. ψ.

„ Πλησίον τῆς Φιδήνης ἐν ἀπόπτῳ τίθενται τὸν χάρακα. Διον. Ἁλικ. β'.

„ Ἐξ ἀπόπτου τοῖς Ῥωμαίοις παρεμβάλλειν. Ὁ αὐτὸς ϛ'.

„ Καὶ ἕν ποτε καθημένου ἐν ὑπαίθρῳ. Αἰλ. Ποικ. Ἱστορ. ιγ'.

„ Ποῦ, ποῦ καθίζωμ' ἐν καλῷ τῶν Ῥητόρων ἵν' ἐξακούω. Ἀριστοφ. Θεσμοφ. 299.

„ Ἐν καλῷ τοῦ θεάτρου ἐκάθητο. Αἰλ. Ποικ. Ἱστορ. ιά.

„ Οἰκία ἐν καλῷ τῆς πόλεως οἰκοδομηθεῖσα. Λουκιανός.

„ Ἀναθέντες δὲ τὸν ταῦρον ἐν καλῷ τοῦ ἱεροῦ.

„ Συναγαγεῖν εἰς αὐτὸν ( νόει τόπον ) Ἀρκάδας. Αἰλ. Ποικ. Ἱστορ. ιγ'.

„ Οἱ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„ Οἱ δὲ Ἀθηναῖοι διώξαντες ἐφ' ἱκανὸν (τόπον) τὲς ἡττημένες. Διόδ. ιγ'.

„ Τέςτε παρόντας αὐτε κάτω προσκαλεντες εἰς ἐπήκοον. πρόσθες τόπον. Δίων Κάσιος μδ'.

„ Ἐκ πλατανιςεντος ψυχρὸν ὕδωρ ἐπάγων. Θεόκρ. 818. ἤτοι τόπου ἐν ᾧ εἰσὶ πολλοὶ πλάτανοι.

„ Ἐκ τε ἴσου μάχεσθαι, παρὰ Ξενοφῶντι, ἐκ τε μέσε αἴρειν, ἐν τῷ μέσῳ γινόμενοι, ἐν οἷς ὑπακεςέον τὸ τόπου, καὶ τόπῳ.

„ Οὐκ ἔχω, (ἤτοι τόπον) πε συνάξω. Λεκᾶς ιβ'.

Τοσετον. Λείπει πρὸ τε ὅσον.

„ Πίνεσιν ὅσον ἁρπάσαι. δηλ. τοσετον, ὅσον. Αἰλ. Ποικ. Ἱςορ. ά.

„ Ἀγαθε τινός μοι μετέςαι μέρος, (τοσετον), ὅσον δίκαιον ᾖ. Ξεν. Κυροπ. ά.

„ Ὅσον δὲ αὐτοῖς διεςέλλετο (τοσέτῳ) μᾶλλον ἐκήρυσσον. Μάρκος ζ.

„ . . . Τετο δ' οἶδα,
„ Ὡς τῷ γέροντι μᾶλλον.
„ Πρέπει τὰ τερπνὰ παίζειν,
„ Ὅσῳ πέλας τὰ μοίρης. Ἀνακρ. Ὠδῇ ιά.

Ἀντὶ τε, ὡς τῷ γέροντι τοσέτῳ μᾶλλον προσήκει τὰ τερπνὰ παίζειν, ὅσῳ.

Παρὰ δὲ Πλετάρχῳ εὑρίσκεται ἀνελλιπῶς. „ Γῆ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

„ Γῆ ὅσῳ τῇ φύσει βελτίων ἐςὶ, τοσούτῳ μᾶλλον ἐξαργηθεῖσα δὶ ἀμέλειαν ἐξαπόλλωται. Πλȣτ. Παιδ. δ'.

Τȣτό. Υ'πακȣςέον ἐν τῷ γνȣς, ϗ γνόντες.

„ Οἱ δ' ὄχλοι γνόντες ( δηλ. τȣτο ) ἠκολȣθησαν αὐτῷ. Λȣκᾶς θ'.

„ Α'κȣσαντες δὲ κατενύγησαν τῇ καρδίᾳ. Ο' αὐτὸς ιά.

„ Ε'πιγνόντες δὲ οἱ ἀδελφοὶ κατήγαγον αὐτὸν εἰς Καισάρειαν. θ'.

Τȣτῳ, ἢ τȣτοις. Μετὰ τὴν πρὸς Πρόθεσιν. καὶ πρὸς δέ.

„ Δύο ϗ εἴκοσι μνᾶς ϗ πρὸς,

„ Ε'γὼ δὲ ἡγȣμαι τὸν λόγον τόνδε, ἀσύμφορον τῇ πόλει, πρὸς δὲ, ϗ ȣ δίκαιον. Δημοσθένης.

„ Πρὸς δὲ, εἰ ἐτήσιαι αἴτιοι ἦσαν. Ηρόδ. β'.

„ Ε'πὶ δὲ ὡς ἐν τοῖς ἐφήβοις ἦμεν. ϗ ȣκ ἐπεὶ δέ. Ξεν. Κυροπ. ά.

Τȣτȣ, ἢ τȣτων. Ε'ν τῷ σημεῖον δὲ, τεκμήριον δέ. ἀπόδειξις.

„ Τεκμήριον δὲ ὅτι, ἀντὶ τεκμήριον δὲ τȣτȣ ἐςὶν, ὅτι. Δίων Κάσιος λέ.

Τὸ ἐκ τȣτων λείπει παρὰ Α'ριςοτέλει Πολ. ζ'.

„ Πᾶν δὲ τὸ χρήσιμον ἐςὶν, ( ἐκ τȣτων ) ὧν τὴν ὑπερβολὴν βλάπτειν ἀναγκαῖον.

Τραγήματα. Ε'ν τῷ μεταδόρπια.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τράπεζα. Ἐν τῷ ξενία. καὶ αὐτή.

„ Ἀλλὰ νῦν μὲν ἐπὶ ξενίᾳ σε καλοῦμεν. Λουκ. Ἰκαρομ.

„ Ὥσπερ οὖν ἐπὶ ξενίᾳ κληθέντες. καὶ ἐπὶ ξενίᾳ ἐκάλουν τὸν Ἀπόλλωνα, καὶ Ὅμηρον. Αἰλ. Ποικ. Ἱστορ. θ΄.

Ἀνελλιπῶς δὲ κεῖται παρ' Ὁμήρῳ, καὶ Αἰσχύλῳ.

„ Ἴσω νῦν Ζεὺς πρωτα Θεῶν, ξενίη τε τράπεζα.

„ Ἤσχυνε ξενίαν τράπεζαν κλοπαῖς γυναικός. Αἰσχύλ. Ἀγαμ.

„ Ἀπὸ τῆς αὐτῆς σιτεῖσθαι. δηλ. τραπέζης.

Τρίχες. Ἐν τῷ πολιαί.

„ Τέκνα, πόνοι, πήρωσις, ἄπαις βίος, αἱ νεότητες.

„ Ἄφρονες. αἱ πολιαὶ δ' ἔμπαλιν ἀδρανέες. Ἐπιγρ.

„ Πολιαὶ κάραν στέφουσι. Ἀνακ. Ὠδῇ λϛ΄.

Τριώβολον. Ὑπακουστέον ἐν τῷ δικαστικόν.

Μὴ λαμβανέτωσαν οὗτοι τὸ δικαστικόν. ἀδίκαστος γὰρ ἡ δίκη μεμένηκεν αὐτοῖς. Λουκ. Δισκατ.

Τὸ δὲ τριώβολον, ὅτι μισθὸς ἦν δικαστικὸς, δῆλον ἐκ τοῦ Ἀριστοφάνους.

„ Ἔχε τριώβολον. Ἱπ. 511.

Ἔνθα φησὶν ὁ Σχολιαστής. τὸν δικαστικὸν μισθὸν, ἐπεὶ τριώβολον ἐλάμ-

βα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βανον. κὴ Στίχῳ 255. εἰς τὸ φράτορες τριωβόλε.

Οἱ δὲ δικαςαὶ ὑπὸ τῶν δημαγωγῶν ἐτρέφοντο, τριώβολον λαμβάνοντες μισθὸν δικαςικὸν μϛ' τὸ κρίναι.

„ Οἱ δικαςαὶ, ἐξ ἁπάντων Ἀθηναίων. ὁ μισθὸς, τριώβολον ἑκάςης δίκης. Λεκ. Δισκατηγορεμενος.

Τρόπος. Ἐν τῷ, ἐκ παντὸς, ἐξάπαντος, ἐπιχωρίε.

„ Ταύτην ἐξάπαντος θεραπεύει. δηλ. τρόπου. Λεκ. ἐπὶ μισθῷ συνόντων.

„ Καὶ αὐτὸς ἔφη τῦτο πάλαι ἐπιθυμεῖν, κὴ σπεύδειν ἐκ παντός. Αἰλ. Ἱςορ. β'.

Ὁ αὐτὸς κὴ δίχα ἐλλείψεως. κὴ κακῶς ἀγορεύειν ἐξ ἅπαντος τρόπου διψῶντας. γ'.

„ Ἐκ παντὸς τρόπου πειρᾶται παρ' Ἰσοκράτει.

„ Ἐπιχωρίου ὄντος. ἤγουν τρόπου. Ξενοφ. Ἀγησ.

Τύραννος. „ Ἐν τῷ τριάκοντα, ἢ Διονύσιος ὁ τῆς Σικελίας.

Τύχη. Ἐν τῷ ἐπ' ἴσης.

Ἐπ' ἴσης γὰρ τῷ τυφλῷ, ὁ προάγων ἐν δρόμῳ, ἐκ ἂν ἴδοι τὲς ἀγωνιςάς. Ἀρτεμ. Ὀνειροκ. ά.

Ὕβρις.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# Υ.

Υ῞βρις. Ἐν τῷ ἀπάγειν λείπει. εἰ καὶ ἐνίοτε τίθεται.

„Οὗ τὴν γυναῖκα ᾤχετο ἀπάγων. πρὸς ὕβριν δηλονότι. Λουκ. Δραπ.

„Ἡ δὲ παῖς πρὶν ἀφικέσθαι τοὺς ἀπάξοντας ἀνήρτησεν ἑαυτήν. Ἀντών. Λιβ.

„Γυναῖκα ἀπάγω μοιχεύσων. Λουκ. Δραπ.

„Οἰκεῖοι πρὸς ὕβριν ἀπαγόμενοι. Ὁ αὐτὸς Γυμν.

„Οἱ δὲ νέων πρὸς ὕβριν ἀπαγομένων ἀγανακτήσαντες. Ὁ αὐτὸς, κατάπλῳ.

Υ῾γιεία. Ὑπακουστέον, ὑγιείαν, ἢ εἰς ὑγιείαν, δὸς εἰπεῖν, Πέτρου, Ἡρακλέους, Βασιλέως. ἵνα ᾖ προπίνω σοι ὑγιείαν, ἢ εἰς ὑγιείαν Πέτρου, Ἡρακλέους, Βασιλέως. Ἀνάγνωθι τὰ εἰς Λουκιανοῦ Σχόλια ἐν τῷ Συμποσίῳ. Προπίνω σοι ἔφη ὦ Κλεάνθη Ἡρακλέους ἀρχηγέτου. σκόπει τὴν σύνταξιν, φησὶν ὁ Σχολιαστὴς, προπίνω σοι Ἡρακλέους ἀρχηγέτου, ὃ νῦν ἀγροικότερον φαμὲν, εἰς τὴν πρεσβείαν τοῦδε, ἢ τὴν ὑγιείαν.

Υ῞δωρ. Ἐν τῷ θερμὸν, ψυχρὸν, καὶ ἐν ἄλλοις.

„Ὃς ἂν ποτίσῃ ποτήριον ψυχροῦ. δηλ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δηλ. ὕδατος. Ματθ. ί.

„ Θερμῷ λέεσθαι. Ἀρισοφ. Νεφ.

„ Μήτι γε ἡ πηγὴ ἐκ τῆς αὐτῆς ὀπῆς βρύει τὸ γλυκὺ, καὶ τὸ πικρόν. Ἰακ. γ'. ὃ παρ' αὐτῷ εὑρήσεις κ' ἀνελλιπές.

„ Οὐδεμία πηγὴ ἁλικὸν, κ' γλυκὺ ποιῆσαι ὕδωρ.

„ Λοεσσάμενοι περμήσσοιο. δηλ. ὕδατι περμήσου. Ἡσίοδος ἐν Θεογ.

„ Λελουμένος Ὠκεανοῖο. Ἰλ.

„ Λοεσσάμενος ποταμοῖο. δηλ. ὕδατι, ἢ ῥοαῖς. ὃ δὴ αὐτόθεν δῆλον. Ἰλ. φ.

„ Λοῦσον ποταμοῖο ῥοῇσιν. Ἰλ. π.

„ Ἐκείνης γὰρ τόγε νῦν ῥέον

„ Καὶ ἐμοὶ ῥευσάτω. Λουκ. Δισκατ.

„ Ἔγχει τὸ ἶσον. ἐν οἷς λείπει τὸ ὕδωρ. κεῖται δὲ ἐν ἄλλοις παρ' αὐτῷ.

„ Σοὶ τὸ ὕδωρ ῥεῖ νῦν μὴ μέλλε. Λουκ. Ἀναβ.

„ Ὑπὲρ τὸ ὕδωρ τὸ ἐκχυνόμενον λέγειν. Ὁ αὐτὸς Εἰκ.

„ Ἐὰν δὲ ἶσον ἴσῳ προσφέρῃ. Μνησίθεος Κωμικὸς παρ' Ἀθην. ἀντὶ τοῦ, ἐὰν δ' ἶσον ὕδωρ, ἴσῳ οἴνῳ κεκραμένον. ἢ ἐὰν δ' ἶσον μέρος ὕδατος ἴσῳ μέρει οἴνου προσφέρῃ.

„ Οἶνος ἶσος ἴσῳ πινόμενος.

Υἱός. Λείπει πρὸ τῆς γενικῆς, Κυρίου, ἢ Προσηγορικοῦ, ἢ κ' Ἐπιθέτου Ὀνόματος.

„ Ἰά-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„ Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου. Ματθ. δ'.

„ Ἡμεῖς δ' οὐκ ἐσμὲν ὑποςολῆς. πρὸς Ἑβρ. ι'.

„ Ἡμεῖς δ' ὡς ἐσμὲν ἔρωτος.

Πολλοῖς δῆλον. ἀντὶ τοῦ υἱοὶ ἔρωτος κατὰ τὸν Σχολιαςήν. Ἀρις. Ὄρνεις.

„ Ἐπαμινώνδας δὲ πατρὸς ἦν ἀφανοῦς. Αἰλ. Ποικ. Ἱςορ. ιβ'.

„ Ἥτις ἔτεκε τὸν ἄῤῥενα. Ἀποκ. ιβ'.

„ Ἐγὼ Ἀζαρίας Ἀνανίου τοῦ μεγάλου. Τοβίτ.

Ἰούδαν Σίμωνος. Σίμων Ἰωνᾶ. Ἰωάν. δ'.

„ Οὐκ οἴδατε οἵου πνεύματος ἐςὲ ὑμεῖς. Λουκ. θ'.

„ Σάρα δὲ ἡ γυνὴ Ἀβραὰμ, οὐκ ἔτικτεν αὐτῷ. Γεν. ιδ'.

„ Κοιλίαι αἳ οὐκ ἐγέννησαν, καὶ μαςοὶ, οἳ οὐκ ἐθήλασαν. Λουκ. κγ'.

Καὶ ἐν τῷ γεννᾷν, καὶ εἰσποιεῖσθαι.

„ Ἐγέννησε κατὰ τὴν ἰδέαν αὐτοῦ, καὶ κατὰ τὴν εἰκόνα αὐτοῦ καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σήθ. Γεν. ε'.

„ Εἰσποιεῖσθαι τινὰ, ἤτοι υἱόν.

Ὑπηρέτης. Ἐν τῷ δήμιος, δημόσιος, βασιλικὸς, εἰσφέρων.

„ Τῶν εἰσφερόντων ἁρπάσομαι τὰ σιτία. δηλ. ἐκ τῶν εἰσφερόντων ὑπηρετῶν. Ἀριςοφ. Ἐκκλ. 861.

Ὕπνος. Ἐν τῷ βαθύς.

„ Ὡς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

„ Ὡς βαθὺν ἐκοιμήθης. Λȣκ. Διαλ. Κύκλωπος κ͵ Ποσειδῶνος.

„ Ἦσαν βεβαρημένοι. δηλ. ὕπνῳ. Μάρκ. ιδ΄.

Ὑποδήσεις. Ἐν τῷ Λακωνικαὶ, Περσικαί. εἴδη ὑποδημάτων γυναικείων.

„ Πȣ̃ χλαῖνα, πȣ̃ Λακωνικαί. Ἀρισοφ. Νεφ.

Ὑπόνοια, ἢ ὑπόληψις. „ Μυρίȣς ἄλλȣς διὰ κενῆς ἀνεπλάττομεν ἡμῖν φόβȣς. Διον. Ἀλικ. ς΄.

Ἀντὶ τȣ̃ διὰ κενῆς ὑπολήψεως, ἢ ὑπονοίας.

## Φ.

Φάρμακον. Ἐν τῷ καθαρτικὸν, δηλητήριον, ὠκυτόκειον, παροξυνθικὸν, ἀφροδισιαςικὸν, ἐμετικὸν, διȣριτικὸν, διαφορητικὸν, ἐπίπασον. κ͵ τὰ λοιπά.

„ Ἀλλ᾽ ȣ̓κ ἔνεςι συκοφάντȣ δήγματος Ἀρισοφ. Πλ. 886.

Ἔνθα δοκεῖ ἐλλείπειν, τὸ φάρμακον, ἢ τὸ ἐπωδή.

„ Τῶν φαρμάκων, τὰ μὲν εἰσὶ χριςὰ, ἤγουν ἅπερ χρώμεθα εἰς θεραπείαν, τὰ δὲ ποτὰ, ἤγȣν ἅπερ πίνομεν, τὰ δὲ ἐπίπαςα, ἅπερ ἐπιπάττομεν.

Φάσμα. Ἐν τῷ πανικόν. παρὰ Διον. Ἀλικ. κ͵ Πολυαίνῳ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Φέρȣσα. Ἐν τῷ ὁδός. οἷον, ἡ ὁδὸς, ἡ εἰς ᾅδȣ. ἡ ὁδὸς, ἡ πρὸς σωτηρίαν.

Φθέγμα. Ἐν τῷ φθέγγεσθαι.

„ Μικρὸν φθέγγεσθαι, καὶ ἰσχνὸν, καὶ γυναικῶδες. παρὰ Λȣκ.

Φίλημα. Ἐν τῷ περιπεταστὸν, ἐπιμανδαλωτόν. Ἀρισ. Ἀχ. 1200.

„ Ἔνθα παρασημειȣ̃ται ὁ Σχολιαστής. εἴδη φιλημάτων ἐρωτικῶν ἐν ᾧ δεῖ τὴν γλῶτταν τῶν καταφιλȣ́ντων λείχειν.

Φιλοσοφία. Ἐν τῷ, Δογματικὴ, Περιπατητικὴ, Ἀκαδημαϊκὴ, Σκεπτικὴ, Ζητητικὴ, Ἐφεκτικὴ, Ἀπορητική.

Φιλόσοφοι. Ἐν τῷ οἱ ἐκ τȣ̃ περιπάτȣ, οἱ ἀπὸ τῆς στοᾶς.

Φρόνημα. Ἐν τῷ μεγαλόψυχον, καὶ φιλόδωρον.

Φυλακή. Ἐν τῷ παρεδόθη.

„ Ὅτι παρεδόθη. δηλ. εἰς φυλακήν. Ματθ. δ′. 12.

Φύλλα. Ἐν τῷ προβάλλειν.

„ Ὅταν προβάλωσιν ἤδη. δηλ. φύλλα, ἢ καρπόν. Λȣκ. κά. 30.

Ὅπερ δίχα ἐλλείψεως εὑρίσκεται παρὰ τῷ Ματθ. κδ′. 32.

Ὅταν τὰ φύλλα ἐκφέῃ.

Φύσιν. Ὑπακȣστέον ἐν τῷ τȣ̃ Λιβανίȣ. Ἐπιστολῇ μέ.

„ Ταῦτα ἐγὼ μαντευόμενος ἐκίνουν σὲ πρὸς τὴν σεαυτȣ̃. ἤγȣν φύσιν. ἴσως



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοιοῦτόν τι ἐςὶ καὶ τὸ τοῦ Ἀπος. Πέτρου ἑχάτη ἐπιςολῇ β΄. 14.

„ Ὀφθαλμοὺς ἔχοντες μεςοὺς μοιχαλίδος, δηλ. φύσεως.

**Φυτόν.** Ἐν τῷ χειρώνειον, ἡλιοτρόπιον, πανακὲς, παρθένιον, καὶ τοῖς ὁμοίοις.

**Φωνή.** Ἐν τῷ ἀπὸ μιᾶς.

„ Καὶ ἤρξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι πάντες. δηλ. ἀπὸ μιᾶς φωνῆς. ῥηθείη δ' ἂν καὶ ἀπὸ μιᾶς ψυχῆς, ἢ ψήφου, ἢ γνώμης. Λουκ. ιδ΄. 18.

## Χ.

**Χάρις.** Ἐν τῷ ἀποδιδόναι τὴν ὁμοίην.

„ Οὐκ ἀπέδωσαν τὴν ὁμοίην Συβαρῖται. Ἡρόδ. ς΄.

**Χάρισμα.** Ἐν τῷ πνευματικὸν, παλινάγρετον.

„ Περὶ δὲ τῶν πνευματικῶν ἀδελφοὶ, οὐ θέλω ὑμᾶς ἀγνοεῖν. πρὸς Κορ. ά. ιβ΄.

„ Οὐ γὰρ ἐμὸν παλινάγρετον. χάρισμα, ἢ ἔπος. ὡς ὁ Εὐςάθιος. Ἰλ. α.

**Χάσμα.** Ἐν τῷ ἄβυσσον.

„ Εἰς ἄβυσσα χάσματα. Εὐριπ. Φοιν. 1599.

**Χεῖλος.** „ Παρ' ἑκάτερα. δηλ. χείλη, ἢ μέρη. Αἰλ. Ποικ. Ἱςορ. γ΄.

Οὗ τὸ πλῆρες παρ' Ἡροδότῳ ἐν τέρπῃ. παρὰ τὰ χείλεα τῶν τε ποταμῶν, καὶ τῶν λιμνέων, σπείρουσι τὰ σιλλικύπρια ταῦτα.

Χείρ.

**Χείρ.** Ἐν τῷ, ἡ δεξιὰ, ἡ ἀριστερὰ, ἡ ἑτέρα, ὐδετέρα, πλατεῖα.

„ Τῇ δεξιᾷ ἂν τοῦ Θεοῦ ὑψωθείς. Πράξ. β΄.

„ Πλατείαις τυπτόμενος δηλ. χερσὶν, ὡς ὁ Σχολιαστής. Ἀρις. Βατρ. 1128.

„ Πλάτων ἐν τῷ Σοφιστῇ, περὶ τούτων διαλεγόμενος φησί. Σοφιστής ἐστὶ ποικίλον θηρίον, καὶ τὸ λεγόμενον, οὐ τῇ ἑτέρᾳ ληπτόν. ἔτω καὶ ὐδετέρᾳ ληπτός, καίτοιγε προήγορον ὐδετέρᾳ ληπτόν. Θεμις. ί.

Ὧν τὸ πλῆρες. καί μιν δεξιτερῆς χειρός κύσε. Ἀπολ. Ῥόδιος Ἀργον. ά. 313.

Καὶ ἐμβαλεῖν κυλλῇ, ἤτοι τῇ λαιᾷ χειρὶ, ὡς ὁ Σχολιαστής. Ἀριςοφ. Ἱπ. 1081.

**Χεῖρες.** Ἐν τῷ ἀμφότεραι.

„ Κόπτων ἀμφοτέρησι δηλ. χερσί. Ὁμήρε Ὀδυσ. Σ.

„ Αὐτάρ ὅγ᾽ ἀμφοτέρῃσι λαβὼν ἐλίασετο γένων. Ὀδυσ. Κ.

„ Δράγματα, καὶ μακῶνας ἐν ἀμφοτέρῃσιν ἔχοισα. Εἰδυλ. ζ΄. 157.

„ Ζηλόθεμις ἀμφοτέραις, τῇ μὲν τῆς ῥινὸς, τῇ δὲ τῦ ὀφθαλμῦ ἐπειλημμένος.

**Χειρῶν.** Ἐν τῷ ἀδίκων. δηλονότι ἄρχειν ἀδίκων χειρῶν.

**Χεῖρας.** Ἐν τῷ ἐπιτίθεσθαι καὶ ἀνταίρειν.

„ Καὶ οὐδεὶς ἐπιθήσεταί σοι (δηλ. τὰς χεῖρας) τοῦ κακῶσαί σε. Πράξ. ιή.

„ Ὁ δὲ οὐκ ἀντῆρεν. ἀλλὰ παρεῖχε τῷ παροινοῦντι. ὁ μέγας Βασίλειος ὁμιλ. πρὸς τοὺς Νέους, περὶ τῆς ὑπομονῆς τοῦ Σωκράτους.

Χιτών. Ἐν τῷ ποδήρης, ἀμφιμάσχαλος, ἑτερομάσχαλος, χειριδωτός. ἦν δὲ ὁ μὲν ἀμφιμάσχαλος χιτὼν τοῖς ἐλευθέροις προσήκων, ὁ δὲ ἑτερομάσχαλος τοῖς δούλοις, ὁ δὲ χειριδωτὸς, ὁ ἐν χειμῶνι ἁρμόδιος.

Χλαῖνα. Ἐν τῷ διπλῆ, ἢ δίπλαξ.

„ Δίπλακα μαρμαρέην. Ἰλ. γ. 126.

Λείπει τὸ ὑφὴν, ἥτι τοσοῦτον φησὶν ὁ Εὐστάθιος, προθεὶς, τινὲς τὸ χλαῖναν λείπειν φασίν. ὃ πλῆρες κεῖται. Ὀδυσ. Ο. χλαῖναν διπλῆν.

Χοῖνιξ. „ Οὐκ ἀλέγω, μή μοι κενεὰν ἀπομάξῃς. δηλ. χοίνικα. Θεοκ. Εἰδ. ιέ. 95.

Χορδή. Ἐν τῷ ὑπάτῃ, παρυπάτῃ, μέσῃ, παραμέσῃ, τρίτῃ, νήτῃ κατὰ Κρᾶσιν ἀντὶ τοῦ νεάτῃ, ἥτις ἐστὶν ἡ ἐσχάτη χορδὴ τῆς κιθάρας ὀξὺν ἀποδιδοῦσα φθόγγον. καὶ ἐν τῷ παρασείειν, παραπαίειν δηλ. τὰς χορδὰς πλημμελεῖν. Ὅθεν τὸ παραπαίειν μεταφορικῶς λέγεται ἐπὶ τῶν μαινομένων.

Χορός. Ἐν τῷ κύκλιον. ἤτοι χορὸν κύκλιον. Καλλίμ. ἐν Ὕμνοις.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

**Χρεία.** Ἐν τῷ εἰς πᾶσαν.

„ Ὣ δελεασθεὶς ὁ δῆμος, εἰς πᾶσαν ἤδη τιθασὸς αὐτοῖς ἐγεγόνει. Πλουτ. ἐν Πομπηΐῳ.

**Χρῆμα.** Συνεχὴς ἡ τούτου ἔλλειψις ἐν τοῖς οὐδετέροις τῶν ἐπιθέτων.

„ Οὐκ ἀγαθὸν πολυκοιρανίη. Ἰλ. β΄. 204.

„ Πιστὸν γῆ, ἄπιστον θάλασσα. Λαέρτιος.

„ Ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία αὕτη. πρὸς Κορ. β΄.

Καὶ τὸ τοῦ Αἰλιανοῦ Ποικ. Ἱστορ. ἡ. παράδοξόν γε, οὐ γὰρ ἀληθὲς; ἐκπεσόντος Δημοσθένους ἐν Μακεδονίᾳ. Ὅπερ δυσξύνετον ἔδοξέ τισι, καὶ πρὸς διόρθωσιν ἐκίνησε, καί τοι μηδεμιᾶς χρῆζον διορθώσεως. Ἔστι γὰρ Ἀττικισμὸς, καθ' ὃν τὸ ἀληθὲς κατ' ἐρώτησιν λαμβανόμενον ἀναπληροῖ τόπον Ἐπιῤῥήματος τοῦ ὄντως. δῆλον δὲ καὶ κατὰ τὸν Κωμικὸν ἐν Βατράχοις ς΄. 864.

„ Ἀληθὲς, ὦ παῖ τῆς. Ἔνθα φησὶν ὁ Σχολιαστής. ἐν ἐρωτήσει, ἀντὶ τοῦ ὄντως. ὥστε ἐντελὲς ἂν εἴη τὸ τοῦ Αἰλιανοῦ.

Παράδοξόν γε χρῆμα ἐστὶν, ὄντως γὰρ ἐκπεσόντος Δημοσθένους ἐν Μακεδονίᾳ.

„ Ἀνεύδεκτον ἐστὶ μὴ ἐλθεῖν τὰ σκάνδαλα. Λουκ. ιζ΄.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καὶ εὖ, ἢ καλῶς ἔχει. δηλ. τὸ χρῆμα.

Χρήματα ἀντὶ τῆς περιουσίας.

Ἐν τῷ πατρῷα, ἐν τῷ φυλάττειν, ἀγείρειν, ἀπαιτεῖν, ὑπερεκτείνειν.

„ Κληρονόμος τῶν πατρῴων. δηλ. χρημάτων. Αἰλ. Ποικ. Ἱστορ. ιγ΄.

„ Τὰ δὲ ἡμέτερα μικρά τε εἶναι. καὶ παρακατιὼν, ἔχειν τὰ ἀρκοῦντα παρὰ τῆς τέχνης. Λουκ. Ἐνυπ.

„ . . . . Φησὶ γὰρ αὕτη
Τοὺς μὲν ἔχοντας καὶ πλουτοῦντας δεῖπνον
Κατὰ μῆνα προπέμπειν. Ἀριστοφ. Πλ. 596.

„ Φησὶ γὰρ αὐτὸν ἑρπτόμενον,
„ Τὰ τῶν ἐχόντων ἀνέρων
„ Οὐκ ἂν ἐξελθεῖν ἀπὸ σιπύης. Ὁ αὐτὸς Ἱπ. 1291.

„ Καὶ ταῖς παρὰ τῶν ἐχόντων ὠφελείαις. Ἰσοκράτης.

„ Πρὸς τῶν ἐχόντων, Φοῖβε, τὸν νόμον τίθης. Εὐριπ. Ἀλκ. 58.

„ Τοῖς παισὶ τοῖς πλουσίοις, οἱ πατέρες φυλάττειν παραινοῦσι. Πλούταρχος.

„ Ὥσπερ οἱ τῇ μητρὶ ἀγείροντες, Λουκ. Ψευδοσ.

„ Καὶ τὴν Θεὸν ἀπαιτεῖν ἀναγκαζόντων. ὁ αὐτὸς. Λούκιος, ἢ Ὄνος.

„ Νὴ δία ὀναίμην, εἰ μέλλω γε καὶ ὑπερεκτίνειν τῶν νεκρῶν. ὁ αὐτὸς Διάλ. Χάρ. καὶ Μενίππου,

Λέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Λέγονται κ̀ νοθεῖα, τὰ τοῖς νόθοις χορηγέμενα χρήματα, κ̀ ὑποφόνια, τὰ εἰς ποινὴν τȣ̃ φόνȣ διδόμενα.

Χρόνος, ἐν Ὀνομαςικῇ. Προσυπακȣ́εται, ἐν τῷ. Τρίτην ταύτην ἡμέραν ἄγει σήμερον, ἀφ' ȣ̃ ταῦτα ἐγένετο. ἤτοι τρίτην ἡμέραν ὁ χρόνος ἄγει. Λȣκ. κδ'.

„ Ἕως ἂν ἥξῃ, ὅτε εἴπητε. ἤτοι ἕως ἂν ἥξῃ χρόνος. Ὁ αὐτὸς ιγ.

„ Ἔςιν ὅτε. ἀντὶ τȣ̃ ἔςι χρόνος ὅτε.

Χρόνȣ, ἐν Γενικῇ. Λείπει ἐν πλείοσι. ἐξ οὗ, ἀφ' ȣ̃, ἕως ȣ̃, ἐκ τȣ́τȣ, ἐξ ἑωθινȣ̃, ἐξ ἱκανȣ̃, ἐκ πολλȣ̃, ἐξ ἀϊδίȣ. ἦν μὲν ἐξ ἀϊδίου συνὼν τῷ τεκόντι. Λέων βασιλεὺς, Λόγῳ ἐν τῇ ἀναςάσει τȣ̃ Χριςȣ̃. ἀπ' ἐκείνȣ, ἐξ ἐκείνου, ἐκ πλείονος, καὶ πρὸ πλείονος. ὡς ὁ Θȣκιδ. έ. Ἔνθα φησὶν ὁ Σχολιαςὴς πρὸ πλείονος χρόνου. ἀπὸ νέȣ. ὡς ὁ Θεόφραςος ἐν Χαρακ. ἀπὸ τȣ̃ νῦν, ἀπὸ διετȣ̃ς, Ματθ. β'. ὅπερ ἐχρήσατο ὁ Λόγγος ἄνευ ἐλλείψεως. Ἤδη δὲ διετȣ̃ς χρόνȣ διϊκνȣμένȣ. Λογ. Ποιμὲν. ά. τὸ ἀπὸ τȣ̃ νῦν, ἀπ' ἄρτι, διὰ μακρȣ̃, διὰ πολλȣ̃, διὰ παντὸς ἢ διαπαντὸς, διὰ βραχέος, δι' ἐλαχίςȣ, καθ' ὅλȣ, ἢ καθόλȣ. ἄχρι τȣ̃ δεῦρο, μέχρι τινὸς, προτȣ̃, ὃ λέγεται κ̀ πρότȣ, κ̀ πρότινος. ὀλίγου, δι' ὀλίγȣ, ἐξ ὀλίγȣ. προϊόντος.

„ Ἐπαναμείνωμεν ὀλίγου, ȣ̃ τὸ πλῆ-

ρες, ὀλίγου χρόνου. Κωμικὸς, ἐν Λυσι.

„ Ἤδη δὲ προϊόντος, (δηλ. τοῦ χρόνου) ἔδοξ' ἐπιχεῖσθαι ἄκρατον. Εἰδυλ. ιδ'. 18.

. . . . . Ἐν πυρὶ δ' αὖαι

Φαγοὶ χειμαίνοντος. δηλ. τοῦ χρόνου. Εἰδυλ. θ'. 19.

Δίχα ἐλλείψεως κεῖται παρὰ Ξενοφῶντι Κυροπαι. 1. κζ'.

„ Προϊόντος δὲ τοῦ χρόνου, ὁ μὲν Ἀστυάγης ἐν τοῖς Μήδοις ἀποθνήσκει.

Χρόνῳ, ἐν Δοτικῇ. Λείπει ἐν τῷ νῦν. ἐν τῷ τότε. ἐν ᾧ. ἐν ὑστέρῳ. ἐν ὀλίγῳ. ἐν τούτῳ. ἐν τοσούτῳ. ἐν τῷ μεταξὺ. ἐν δευτέρῳ. ἐν ἀτόμῳ. ἐν ἀκαρεῖ.

„ Τοὺς ἐν Ἀρκαδίᾳ ζεύξας, ἐν τῷ τότε τοὺς ταχίστους ἵππους. Λουκ. Χαρίδημος.

„ Ἐν ᾧ καὶ ὁμότιμοι ᾤκουν. Ξεν. Κυροπ. β'. 14.

„ Ἐν ᾧ δὲ ἔρχομαι ἐγὼ ἄλλος πρὸ ἐμοῦ καταβαίνει. Ἰωάν. ε'.

„ Ἐν ὅσῳ περιεκομίζοντο. Θουκ. γ'.

„ Ἐν ὑστέρῳ. ὁ αὐτός. χρόνῳ δηλονότι.

„ Ἐν τοσούτῳ δ' ἐπαιρέσθων. Λουκ. Ἐπισκοπ.

„ Πλὴν ἱκανή. ἐν τοσούτῳ καὶ αὕτη ἡ τιμωρία ἔσται αὐτοῖς. Ὁ αὐτὸς Τίμων.

„ Ὁ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

„ Ὁ γὰρ Ποσειδῶν ἐκέλευσέ με ὦ Πανόπη ἀκύμαντον ἐν τοσούτῳ φυλάττειν τὸ πέλαγος. Ἐνταῦθα φέρει, καὶ τὸ, δείλης, ἑσπέρας. ἤτοι ἐν χρόνῳ δείλης, ἐν χρόνῳ ἑσπέρας.

Χρόνον, ἐν Αἰτιατικῇ. Λείπει ἐν τῷ διατρίβειν. „ μὴ νῦν διάτριβε. Κωμικὸς Πλ.

Ἐν τῷ ἐπέχειν. „ ἐγὼ γὰρ ἐπισχήσω. Ξενοφ. Κυροπ. έ.

Ἐν τῷ καθ᾽ ὅσον, εἰς ὅσον, ἐφ᾽ ὅσον.

Ἐν τῷ δηρὸν, ἢ ἐπὶ δηρόν. Ἰλ. α.

„ Ἐπὶ δηρὸν ἐλλειπτικῶς εἴρηται, ἀντὶ τοῦ ἐπὶ πολὺν χρόνον. φησὶν ὁ Εὐστάθιος.

Ἐν τῷ μικρὸν, καὶ κατὰ μικρόν. „ μικρὸν καὶ οὐ θεωρεῖτέ με. Ἰωάν. ιϛ΄. 17.

Ἐν τῷ παρὰ μικρὸν, ἢ παρ᾽ ὀλίγον. Λουκ. Ἐνυπ.

Δοκεῖ δὲ λείπειν καὶ ἐν τῷ ἄχρις ἑσπέρας, ἄχρι μεσημβρίας, ἄχρι τρίτης ὥρας, ἀντὶ τοῦ ἄχρι πρὸς τὸν χρόνον ἑσπέρας, μεσημβρίας, γ΄. ὥρας, καὶ ἐν τῷ ἐς ἄν.

„ Ἐς ἂν ὁ διώκων ἀπῆλθεν. Αἰλ. Ποικ. Ἱστορ. ιγ΄. ἀντὶ τοῦ ἐς τὸν χρόνον, ἐν ᾧ ὁ διώκων ἀπῆλθε.

„ Ἐγὼ εἰμὶ ὁ ὢν, τῆς ὢν Συλλαβῆς οὐχ ἕνα (χρόνον) μόνον δηλούσης, ἀλλὰ τοὺς τρεῖς, τόν τε παρεληλυθότα, καὶ τὸν ἐνεστῶτα, καὶ τὸν μέλλοντα. Ἰουσ. Φι-

λο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λοσόφυ, καὶ Μάρτυρος ἐν τῷ πρὸς Ἑλ. παραινετικῷ.

Χρόνων. Ἐν τῷ διὰ ταχέων.

„ Εἰμὴ ἡ ἀρχὴ διὰ ταχέων κατελύθη. Πλάτων, ἐν ἀπολογίᾳ Σωκρ.

Χρόνοις. „ Ἐν οἷς εὗρόν με ἡγιασμένον ἐν τῷ ἱερῷ. δηλ. χρόνοις. Πράξ. κδʹ. 18.

„ Πρὸς ἐσχάτοις ὄντες. Ἀρτεμ. Ὀνειροκ. βʹ.

Χρῶμα. Ἐν τῷ βατραχείοις, ἐν τῷ ἀφάρμακον, ἐν τῷ ἐντρίβεσθαι, καὶ ἄλλοις.

„ Βαπτόμενος βατραχείοις. ἤτοι χρώμασι. Ἀριστοφ. Ἱπ. 530.

Τὸ βατράχειον ἐστιν εἶδος χρώματος ἔφη ὁ Σχολιαστής.

Ἀφάρμακον χρῶμα οἰδίποδος ἄνευ ἄνθυς, ἄνθη γὰρ τὰ φάρμακα. Ἡσύχιος.

„ Χώρει δεῦρο κινάχυρα, ὅπως ἂν ἐντετριμμένη κανηφορῇς. Ἀριστοφ. Ἐκκλ. 727.

Οὐ τὸ πλῆρες παρὰ Λυκιανῷ Θεῶν κρίσις. τοσαῦτα ἐντετριμμένην χρώματα, ὥσπερ ἑταίραν τινα.

Χώρα. Ἐν τῷ ὀρεινή, πεδινή, ἄνυδρος, παράλιος, Γαλιλαία, Ἰυδαία, ἠρημένη, φιλία, πολεμία, ἰδία. καὶ ἄλλοις. ἐν ταύτῃ, καὶ ἐν τῷ ἡ. ἐν τῷ μακρᾷ.

„ Ἴθε τὴν ὀρεινήν. Ξεν. Κυρ. βʹ. 27.

„ Ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπυδῆς. Λυκ. αʹ. 31. „ Ω-

„Ὥσπερ γὰρ ἡ ἀςραπὴ, ἡ ἀςράπτουσα ἐκ τῆς ὑπ᾽ οὐρανὸν, εἰς τὴν ὑπ᾽ οὐρανὸν λάμπει. Ὁ αὐτὸς ιζ΄.

„Τὴν βασιλέως κακῶς ἐποίουν. Ξεν. Ἑλλην. β΄. ιά.

„Ἀοίκητος ἡ ὑπ᾽ οὐρανόν. Ἰὼβ ιή.

„Αἱ πηγαὶ τῆς ὑπ᾽ οὐρανόν. Παροιμ. ή.

„Κατ᾽ ἰδίαν, ἢ δημοσίαν. δηλ. χώραν.

„Ὑπὸ τῶν ταύτῃ κατοικούντων. ἤγουν χώρᾳ. Ἀρτεμ. Ὀνειρ. β΄.

„Καὶ τάξας τοὺς ἄλλους ᾗ ᾤμην δεῖν. Ξενοφ. Κυρ. β΄. 11.

„Ὑμῖν γάρ ἐστιν ἡ ἐπαγγελία, καὶ τοῖς τέκνοις ὑμῶν, καὶ πᾶσι τοῖς εἰς μακράν. δηλ. χώραν. Πράξ. β΄. 39.

Τὸ δὲ εἰς μακρὰν καὶ χρονικῶς ἂν ληφθείη. ἔοικε δὲ ἡ φωνὴ αὕτη λείπειν. καὶ εἰς τὸ ἐξ ἐναντίας, καὶ ἐξ ἑτέρης. Ὡς τὸ ἵνα ὁ ἐξ ἐναντίας ἐντραπῇ, ἀντὶ τοῦ ἐξ ἐναντίας ὢν χώρας.

„Τοὶ μὲν δύνοντες τοὶ δ᾽ ἐξ ἑτέρης ἀνιόντα. Ἀράτου Φαιν. 571.

„Ἡ μὲν εἰς ἑτέρην φέρεται. Ὁ αὐτός.

ωρίου. Ἐν τῷ ἔρημον, ἰσόπεδον, πρανὲς, εἰς τόδε, τόδε, εἰς ἓν.

„Ἐν τῷ ἰσοπέδῳ. δηλ. χωρίῳ. Ξενοφ. Κυρ. ά.

„Ἐπὶ τὸ πρανές. Ὁ αὐτὸς β΄.

„Τόδε ἱκάνω παρ᾽ Ὁμήρῳ. τόδε ἀντὶ τοῦ ἐνταῦθα κατὰ τὸν Εὐςάθιον.

Ἐν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Χωρίῳ. Ἐν τῷ ἐν καλῷ, ἐν ἐπικαίρῳ, ἐν κρυπτῷ.

Χωρία. Ἐν τῷ τὰ ἐργάσιμα, τὰ λάσια, τὰ εὐήλατα, τὰ πρανῆ, τὰ λεῖα, τὰ δασέα, τὰ ὕψιστα, τὰ ὑψηλὰ, τὰ κάτω; τὰ ἄνω.

„ Διὰ τῶν κοίλων καὶ δασέων. Ἀριστοφ. Νεφ. 324.

„ Ἐν ὑψίστοις. Λυκ. β'.

„ Ἐν ὑψηλοῖς. Πρὸς Ἑβρ. ά.

„ Ἐκ τῶν κάτω, ἐκ τῶν ἄνω. Ἰωάν. ή.

## Ψ.

Ψήφισμα, καὶ Νόμος. Ἐν τῷ γράφειν.

„ Νόμον, θάνατον ἀπειλοῦντα τῷ γράψαντι μετατεθῆναι ταῦτα, εἰς τὴν ἀρχαίαν τάξιν. Λιβαν. Ὀλυνθ. 1.

„ Πῶς οὖν δίκαιον τοὺς νόμους ὑμᾶς βροτοῖς

„ Γράψαντας, αὐτοὺς ἀνομίαν ὀφλισκάνειν. Εὐριπ. ἐν Δι' 442.

Ψῆφος. Ἐν τῷ ἀναιροῦσα, σώζουσα, ἀπολύουσα, λευκὴ, μέλαινα, πλήρης, τετρυπημμένη.

„ Καὶ πᾶσι τὴν τετρυπημμένην (ἤτοι ψῆφον) οὕτος φέρει. Λυκ. Δισκατηγ. Αἱ μὲν λευκαὶ καὶ πλήρεις τῶν σωζομένων, αἱ δὲ μέλαιναι καὶ τετρυπημέναι τῶν καταδικαζομένων ἦσαν ψῆφοι.

Ψή-

Ψήφȣ. Ἐν τῷ ἀπὸ μιᾶς, παρὰ τῷ Κωμικῷ.

Ψῆφον. Ἐν τῷ τίθεσθαι.

„ Τινὰ τῇ μέθῃ τιθέμενον. δηλ. ψῆφον. Λȣκ. Δισκατηγ.

„ Κᾀγὼ γνώμῃ ταύτῃ τίθεμαι. Σοφοκλῆς ἐν Φιλοκ. 1443.

„ Τίθεσθαι τὴν ἐναντίαν. Λȣκ. Δισκατηγ.

„ Οὗτος οὐκ ἦν συγκατατεθειμένος (ψῆφον) τῇ βȣλῇ καὶ τῇ πράξει. Λȣκ. κγ΄.

Ψῆφοι. Ἐν τῷ ἶσαι. ἐὰν δὲ τισιν ἶσαι γίνωνται παρὰ Πλάτωνι.

Ψήφοις. Ἐν τῷ πάσαις, ἁπάσαις, πλείοσιν. ἁπάσαις αἱρεῖν παρὰ Συνεσίῳ. πάσαις ἡ Ἀκαδημία κρατεῖ πλὴν μιᾶς. τίς ὑπερέχεν; πάσαις ἡ ἡδονή. πάσαις ὁ Σύρος πλὴν μιᾶς. πλείοσι γὰρ κρατῆσαι βȣλομαι παρὰ Λȣκιανῷ.

## Ω.

Ὠδή. Ἐν τῷ ἐμβατήριος, καὶ ἐμβατηρία.

„ Καὶ μὴν ἐμβατηρίας μετ' αὐλȣ̃ ἀσκȣ̃ντες. Πολύβιος δ΄.

Ὤν. Πάτερ ἡμῶν ὁ ἐν τοῖς ȣ̓ρανοῖς. ἀντὶ τȣ̃ ὁ ὤν. τὰ ἐν Ἀσίᾳ. δηλ. ὄντα. Ἑλλήνων τῶν ἐν Ἀσίᾳ. δηλ. ὄντων. Ξεν. Κυρ. ὡσαύτως οἱ ἐν τέλει, οἱ ἐν ἀξιώμασι, οἱ πρότερον, οἱ περὶ τὸν Παῦλον,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λον, οἱ περὶ τὸν βασιλέα, ἐν οἷς καὶ τοῖς ὁμοίοις ὑπακουστέον τὸ ὄντες. ὡς καὶ τῷ, ὁ πάλαι, ὁ πάνυ, τὸ, ὢν, καὶ ἐν τῷ φίλος εἰμὶ ἐν τοῖς μάλιστα. τὸ, ἐν τοῖς οὖσι μάλιστα φίλοις.

Ὤνια. „Οἱ ἐν τῇ ἀγορᾷ μεταβαλλόμενοι. πρόσθες τὸ ὤνια. Ξενοφ. Ἀπομν. γ΄. ζ΄.

Ὠόν. Ἐν τῷ ἀνεμιαῖον. ὠὰ ἐν τῷ ζεφύρια. παρὰ Μενάνδρῳ.

Ὥρα. Ἐν τῷ πρωΐα, ἑωθινὴ, δορπυστὸς, βουλυτός.

„Ὑπὸ τὴν ἑωθινὴν παρὰ Πολυβίῳ.

Δορπιστὸς παρ᾽ Ἀριστοφάνει Σφηκ. 103. σημαίνει τὴν ἑσπερινὴν ὥραν. ἤτοι τοῦ δείπνου. καὶ ἐτυμολογεῖται ὑπό τινων, ἀπὸ τοῦ τὸ δόρυ παύειν. τὸ δ᾽ αὐτὸ τοῦτο σημαίνει καὶ τὸ βουλυτὸς, τὴν ἑσπερινὴν λέγω ὥραν, καθ᾽ ἣν οἱ βόες λύονται τῆς ἐργασίας.

Προσέτι ἐν τῷ ἀφ᾽ ἧς, ἐξ αὐτῆς, εἰς μακράν.

„Ἀφ᾽ ἧς γὰρ οἱ πατέρες ἐκοιμήθησαν. Πέτρου Ἐπισ. β΄.

„Ἀφ᾽ ἧς εἰσῆλθον. Λουκ. ζ΄.

„Καὶ ἐλάλησας ὑπὲρ τοῦ δούλου τοῦ οἴκου σου εἰς μακράν. Σαμ. β΄. Κεφ. ζ΄.

„Καλέσει δὲ οὐκ εἰς μακράν. Μάξ. Τύριος α΄.

Καὶ τοσαῦτα μὲν περὶ Ἐλλείψεως Ὀνομάτων, ῥητέον δὲ καὶ περὶ τῶν κατὰ Ῥήματα Ἐλλείψεων.

Πε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΕΡΙ' Ε'ΛΛΕΙ'ΨΕΩΣ
## τῶν Ρ'ημάτων.

Οὐ μόνον Ε'λλείψεις Ο'νομάτων, ἀλλὰ καὶ Ρ'ημάτων καὶ τῶν ἄλλων Μερῶν τȣ̃ Λόγȣ, ἐν τοῖς τῶν ἀρχαίων Ε'λλήνων εὑρίσκονται Συγγράμασι. Περὶ ὧν ῥητέον νῦν μετὰ τὴν συμπλήρωσιν τῶν περὶ Ε'λλείψεως ἐκείνων εἰρημένων.

Α'γανακτῶ. „ Καὶ ἐὰν τȣ̃το ἀκȣσθῇ ἐπὶ τȣ̃ ἡγεμόνος, ἡμεῖς πείσομεν αὐτὸν καὶ ὑμᾶς ἀμερίμνȣς ποιήσομεν. Ματθ. κή. 14.

Ε'νθα ὑπακουςέον τὸ μὴ ἀγανακτεῖν ἢ ὀργίζεσθαι, ἤ τι τοιȣ̃τον ἵνα ᾖ τὸ πλῆρες. πείσομεν μὴ ἀγανακτεῖν.

Α'κȣ́ω. „ Οἶμαί γε τῶν νεωτέρων τὰς καρδίας
„ Πηδᾷν ὅ,τι λέξει. Α'ριςοφ. Νεφ. 1393.

Ε'ν τῷ τῶν νεωτέρων. λείπει τὸ ἀκȣ̃σαι βȣλομένων.

„ Πόθος γὰρ πάνυ με ὅ,τι φωνεῖς ἔχει, ἀντὶ τȣ̃ ἔχει με πόθος ἀκȣ̃σαι. Ο' αὐτὸς Α'χαρν. 361.

Α'λγῶ. „ Τὴν κεφαλήν μȣ. τὴν κεφαλήν μου δηλ. ἀλγῶ. Βασιλειῶν β'. δ'. 19.

Α'νάκειμαι. „ Κλειςȣ̃ς αἱ δύο παῖδες Α'ριςοδίκη καὶ Α'μεινώ.

„ Κρῆσσαι, πότνια σῆς Α'ρτεμι νεοκόρȣ.

κόρου. ὑπακουςέον τὸ ἀνάκειται.

„ Καὶ ἔςιν ἀνδριὰς ἐν Δελφοῖς. δηλ. ἀνακείμενος. Παυσανίας ἐν τοῖς Φωκικοῖς. θ'.

Ἡ δὲ τοιαύτη Ἔλλειψις συνεχέςερον εὕρηται ἐν πολλοῖς τῶν Ἐπιγραμμάτων.

Ἀνατίθημι. „ Ταῖς νύμφαις κινύρης τόδε δίκτυον. ὁ γὰρ ἀείρει γῆρας ἀκοντιςὴν μόχθου ἐκηβολίης. Ἀνθολογία Ἐπίγραμ. ς'.

Ἔνθα λείπει τὸ ἀνέθετο. ἤτοι τόδε δίκτυον ἀνέθετο. καὶ τὸ τοῦ Πλάτωνος ἐκ προσώπου τῆς Λαΐδος.

„ Τῇ παφίῃ τὸ κάτοπτρον ἐπεὶ τοίη μὲν ὁρᾶσθαι.

„ Οὐκ ἐθέλω οἱ δ' ἦν πάρος, οὐ δύναμαι. ἤτοι τὸ κάτοπτρον ἀνατίθεμαι. Ἔξεςι δὲ ἐν τοῖς ὁμοίοις ὑπακούειν τὸ τίθεμαι, ἀνατίθημι, δωροῦμαι, ἱερωσάμην, δῶρον ἔθηκα, ἀνεθέμην, θέσα, θῆκα, δῶρα ἐθέμην, ἀνέθηκα, ἐκρέμασα.

Ἀπάγω. Τὸ ἀπάγειν, ἢ ἀπέρχεσθαι ὑπακουςέον ἐν τῷ ἐς κόρακας, εἰς μακαρίαν, εἰς ὄλεθρον. οὐ τὸ πλῆρες ἀπάγειν ἑαυτὸν ἐς κόρακας.

Ἔτι τὸ ἔρρει ἢ ἐρρήσει. ὅπερ κεῖται παρὰ τῷ Κωμικῷ Εἰρην. 499.

Ἄνδρες Μεγαρεῖς οὐκ ἐς κόρακας ἐρρήσετε;

Τὸ ἀπάγεσθαι, ἢ κατάγεσθαι σεσίγηται ἑπομένης τῆς εἰς Προθέσεως.

„ Τὸν Ἰωσὴφ ἀπέδοντο εἰς Αἴγυπτον

λείπει

λείπει τὸ ἀπαχθησόμενον. Πράξ. Ἀ-ποσ. ζ'.

Ἀνελλιπῶς δέ. . . . . . Γεν. λζ'.

„ Ἀπέδοντο τὸν Ἰωσὴφ . . . καὶ κατήγαγον τὸν Ἰωσὴφ εἰς Αἴγυπτον.

„ Δέσμιος ἐξ Ἱεροσολύμων παρεδόθην εἰς χεῖρας τῶν Ῥωμαίων, ἀντὶ τοῦ δέσμιος ἀπαχθείς.

„ Πέρνασχ' ὅντινα ἕλεσκε, πέρην ἁλὸς ἀτρυγέτοιο. Ἰλ. ω. 752. λείπει τὸ ἀπαχθησόμενον.

„ Καὶ τὴν μὲν αὐτέων πυθέσθαι εἰς Λιβύην πληθεῖσαν, τὴν δὲ εἰς τοὺς Ἕλληνας ἔνθα προηγεῖται τὸ ἐξαχθῆναι.

„ Καὶ τὴν μὲν αὐτέων εἰς Λιβύην, τὴν δὲ εἰς τὴν Ἑλλ. ἀπέδοντο. Ἡρόδ. β'.

Ἀπαλλάττομαι. „ Ὡς εὐτυχῶς, ὅτ' οὐκ ἐλήφθην ἔνδοθεν κλέπτων τὸν οἶνον. ἀντὶ τοῦ, ὡς εὐτυχῶς ἀπηλλάχθην. Ἀρισ. Ἱπ. 101.

Ἄπειμι. Σεσίγηται τὸ Ῥῆμα τοῦτο ἑπομένης Προθέσεως κίνησιν εἰς τόπον σημαινούσης.

„ Ἐγὼ δὲ ἐπὶ τὴν ἀκρόπολιν. λείπει τὸ ἄπειμι. Λυκι. Γυμνασ.

„ Τὸν γὰρ πῖλόν μοι ἀφελεῖν οἴκοθεν ἔδοξε, ἀντὶ τοῦ οἴκοθεν ἀπιόντι. Ὁ αὐτὸς αὐτόθι.

„ Ὁ δὲ μικρολόγος τοιοῦτός τις, οἷος ἐν τῷ μηνὶ ἡμιωβόλιον ἀπαιτεῖν εἰς τὴν οἰκίαν. ἀντὶ τοῦ ἀπαιτεῖν ἀπιὼν εἰς τὴν οἰκίαν. Θεόφρ. Χαρακ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„ Αὐτὴ δ᾽ ὐρανὸν ἷκεν.

Οἴκαδ᾽ ἱεμένων. ἀντὶ τῦ ἀπιέναι ἐφιεμένων. Ἰλ. β. 154.

„ Ὡς ἀπὸ γυμνασίοιο, καλὸν πόνον ἄρτι λιπῦσι. Θεόκρ. Εἰδυλ. β. 80.

Καθὰ ἀπὸ τῆς παλαίστρας ἐξελθοῦσιν, αὐτίκα τόν τε καλὸν πόνον λιπῦσι, κατὰ τὸν Σχολιαστήν.

„ Καὶ ἀπὸ ἀγορᾶς (ἐλθόντες) ἐὰν μὴ βαπτίσωνται ὐκ ἐσθίυσι. Μάρκος ζ΄.

Ἀρκῶ. „ Ὅσον εἰς τὸ ὑγιᾶναι (δηλ. ἤρκεσε) ἐχρῆτο αὐτοῖς. Αἰλ. Ποικ. Ἱς. δ΄. 15.

## Β΄.

Βιάω. „ Χρεὼ βυλῆς ἐμὲ καὶ σέ. Ἰλ. κ. 23. ἀντὶ τῦ χρεὼ βυλῆς ἐμὲ καὶ σὲ βιάει. ἡ Ἔλλειψις τύτου παρ᾽ Ὁμήρῳ εὑρίσκεται καὶ Ἰλ. ι. 75. καὶ 603. Ἰλ. λ. 605. Ἰλ. σ. 406. Ὀδ. α. 225. ἀνελλιπῶς δὲ παρὰ τῷ αὐτῷ Ἰλ. κ. 172.

„ Ἀλλὰ μεγάλη χρειὼ βεβίηκεν Ἀχαιύς.

Βλέπω. Ἐν τοῖς Προςακτικοῖς τῦτο ἀποσεσίγηται πρὸ τῦ ὅπως, καὶ ἵνα. ἢ τὸ ὅρα, ἢ τὸ σκόπει. οἷον, ὅπως μὴ ποιήσῃς. δηλ. βλέπε, ἢ ὅρα, ἢ σκόπει ὅπως μὴ ποιήσῃς.

Βάλλω. Ἔνοχος ἔςαι εἰς τὴν γέενναν, ἀντὶ τῦ βληθῆναι εἰς τὴν γέενναν. Ματθ. ἑ. 22.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Βϑλομαι. Τϑτϑ τὸ β. ἢ τὸ γ. πρόσωπον ὑπακυςέον προηγϑμένϑ τϑ εἰδὲ.

Εἰδὲ καὶ αὐτοί.

Φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν. Ἰλ. ι. 27.

Ἀντὶ τϑ εἰδὲ βϑλονται φυγέτωσαν καὶ αὐτοί. ὡς ὁ Εὐςάθιος.

„ Εἰδ' ἄγε θέσελι μοι χαλεπᾶς νόσω εὗρε Τιμάχος. Θεόκ. Εἰδυλ. β. 95.

Ὡσαύτως προηγϑμένϑ τϑ εἴπερ.

„ Ἔπειτ' ἀπὸ θαῤῥϑ τϑς Θεϑς ὑπερφονεῖς.

„ Ἀλλ' ϑκ ἀπὸ γῆς εἴπερ... λείπει τὸ ἐβϑλου.

## Γ.

Γίνομαι. Οὐ μόνον παρὰ Ποιηταῖς, ἀλλὰ καὶ τοῖς καταλογάδην γεγραφόσιν εὑρίσκεται τϑτϑ τϑ Ῥήματος ἡ Ἔλλειψις.

„ Ὑμεῖς δ' ὅταν καλῶμεν, ὁρμᾶσθαι ταχεῖς. Σοφοκ. Φιλοκ. 1076.

Ἔνθα ὁ Σχολιαςής. γίνεσθε, δηλονότι γίνεσθε ταχεῖς.

„ Τότε τοίνυν, τὰ μὲν ἔμελλεν, ὡς ἐδόκει, τῶν δεινῶν, τὰ δ' ἤδη παρῆν. Δημ. περὶ Στεφ.

Λείπει τὸ γενήσεσθαι. ὡς καὶ τῷ ὡς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ἐπὶ τὸ πολὺ, τὸ γίνεται. εἰδὲ μὴ τὐναντίον παρ' Ἱπποκράτει Ἀφορ. ά.

Γέγονεν. Ἐν τῷ τί ὅτι.

„ Τί ὅτι ἐζητεῖτέ με. ἀντὶ τοῦ τί γέγονεν, ὅτι ἐζητεῖτέ με. Λυκ. β'. 49.

„ Τί ὅτι ἔθου ἐν τῇ καρδίᾳ σου τὸ πρᾶγμα τοῦτο, ἀντὶ τοῦ τί γέγονεν, ὅτι. Πράξ. έ. 4.

„ Τί ὅτι συνεφωνήθη ὑμῖν; οὗ τὸ πλῆρες παρὰ Ἰωάννῃ ιδ'. 22.

„ Τί γέγονεν, ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν σεαυτόν.

Γένοιτο. „ Ἑρμ' ἐμπολαῖε, τὰν γυναῖκα, τὰν ἐμὰν

„ Οὕτω μ' ἀποδόσθαι, τάν τ' ἐμαυτοῦ ματέρα. Ἀριστοφ. Ἀχαρν. 816

Λείπει τὸ γένοιτο ὡς ὁ Σχολιαστής.

Γεγονώς. „ Οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ. δηλ. γεγονότων. πρὸς Τίτον γ'.

Γράφω. Τὸ γράφειν ὑπακουστέον ἐν ταῖς Ἐπιστολαῖς τοῦ Ἀποστόλου Παύλου.

Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ πᾶσιν τοῖς οὖσιν ἐν Ῥώμῃ. δηλ. γράφειν.

## Δ.

Δεῖ. Τὸ δεῖν ὑπακουστέον ἐν τῷ λέγω, κρίνω, δοκῶ.

Οἷον, λέγω ποιεῖν τοῦτο. ἀντὶ τοῦ λέγω δεῖν ποιεῖν τοῦτο.

Ἐκρι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἔκρινεν ἀποθανεῖν τὸν ἄνδρα· ἀντὶ τȣ̃ ἔκρινε δεῖν.

„ Πότερα δοκεῖ ποιεῖν, ἀντὶ τȣ̃ δοκεῖ δεῖν ποιεῖν. Ξενοφ. Κυρ. β΄. ιγ΄.

Καὶ ἐν τῷ ὀλίγȣ, καὶ μικρȣ̃ μετὰ τȣ̃ ὥστε.

„ Καὶ ὀλίγου καὶ τὴν πόλιν κατέλαβε, δηλ. ὀλίγȣ δεῖν. Αἰλ. Ποικ. Ις΄. δ΄.

„ Μικρȣ̃ ἐξετραχίλησεν αὐτόν. ἀντὶ τȣ̃ ὥστε μικρȣ̃ δεῖν ἐξετραχίλησεν αὐτόν. Ξεν. Κυρ. α΄. δ΄.

Δέομαι. Πρὸς τȣ̃ Διὸς τ᾽ Οὐλυμπίȣ, ὅπως παρέσει μοι, λείπει τὸ δέομαι. Ἀριστοφ. Ὄρν. 131.

Διαδέδεμαι. Λȣκιανὸς ἐν τοῖς Νεκρικοῖς Διαλόγοις εἰσάγει τὸν Ἑρμὴν περὶ τȣ̃ λαμπρὰ ἐνδεδυμένȣ λέγοντα. „ Ὁ δὲ τὴν πορφυρίδα ȣτοσὶ, καὶ τὸ διάδημα, ὁ βλοσυρὸς, τίς ὢν τυγχάνεις; ὑπακȣστέον τὸ διαδεδεμένος.

Ὁ αὐτὸς ἐν τῷ Ἐκκλ. Θεῶν. „ ἀλλ᾽ ὁ Ἄττις γε ὦ Ζεῦ, καὶ ὁ Κορύβας, καὶ ὁ Σαβάζιος, πόθεν ἡμῖν ἐπεισεκλήθησαν ȣ̃τοι; ἢ ὁ Μίθρης ἐκεῖνος ὁ Μῆδος ὁ τὴν κάνδυν, καὶ τὴν τιάραν; δηλ. διαδεδεμένος.

Ὁ αὐτὸς ἀλλαχόσε ἄνευ Ἐλλείψεως. „ Καὶ τὸ ἐπίσημον εἶναι, ἐλαύνοντα, διαδεδεμένον ταινίᾳ λευκῇ τὴν κεφαλήν.

Διαφέρει. Λείπει ἐν τῷ, τί ἐμοὶ τȣ̃το.

„ Τί γάρ μοι καὶ τοὺς ἔξω κρίνειν; πρὸς Κορ. ά. έ. 12.

„ Ἀνελλιπῶς παρὰ Πλάτωνι ά. Πολιτ. τί ἐμοὶ τοῦτο διαφέρει;

„ Τί μοι; ὡς μὴ ποτ᾽ ὄφελόν σφ᾽ ἰδεῖν. Εὐριπ. Ἡρ. 433.

Ὅπερ ἂν εὐχερῶς ἀναπληρωθείη διὰ τοῦ μέλλει.

.... Τίμοι;

Μέλλει, προσήκει μ᾽ οὐθέν.

„ Τίμοι καὶ τεθνηπέναι τὸν μυθικὸν αὐλητήν; τί δέ μοι καὶ Ἀριςόξενον τὸν Θηβαῖον Ἀντιγενίδην πολυπραγμονεῖν; Τίμοι διὰ τὸν Περικλύμενον γύναιον. Παῦλος Τατιανὸς πρὸς Ἕλληνας.

Δίδωμι. „ Δήμητερ φίλη, καὶ περσεφάττα, πολλάκις μέ σοι,

„ Θύειν ἔχουσαν. Ἀριςοφ. ἐν Θεσμοφ. 294. οὗ τὸ πλῆρες.

Δὸς, ἐμὲ ἔχουσαν πολλὰ, πολλάκις σοι θύειν.

„ Ζεῦ, κύδιςε, μέγιςε, κελαινεφὲς, αἰθέρι ναίων.

„ Μὴ πρὶν ἐπ᾽ ἠέλιον δῦναι, καὶ ἐπὶ κνέφας ἐλθεῖν.

Λείπει κατὰ τὸν Εὐςάθιον τὸ δὸς ἢ ποίησον. καὶ παρ᾽ Ἡροδότῳ σχῆμα ὅμοιον εὐχῆς. Δαρεῖος ηὔξατο, ὦ Ζεῦ, γενέσθαί μοι Ἀθηναίους τίσασθαι.

„ Νύμφαι πετραῖαι, πολλάκις με βουθυ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θυτεῖν. δηλ. δότε. Εὐριπ. Ἠλεκ. 805.

„ Ὁ μέν τις ἔλεγε, παῖ, λύχνειον. ὁ δὲ λυχνέα, ὁ δὲ λοφνίας, ὁ δὲ φανὸν Ἀθηναίων. Δειπνοσοφιςῦ ιέ.

Δοκεῖ. Ἐν τῷ, ὥς γε μοι κριτῇ. Αἰλ. Ποικ. Ἱςορ. β΄.

Δύναμαι. Λείπει, ἐν τῷ ὡς ἕκαςος, ὡς πλεῖςα, ὁποθενῦν, ὁκοθενᾶν.

„ Ταῦτα, ἤτοι πλοῖα, ὡς πλεῖςα, δηλ. ἐδύνατο, ξυναγαγὼν καὶ δῶρά τε ὡς ἕκαςοι (ἠδύναντο) φέροντες. Ἀῤῥι. ά.

## Ε.

Εἰδέναι. „ Πόθος γάρ πάνυ με, ὅτι φωνεῖς ἔχει. ὑπακουςέον, τῦ εἰδέναι. Ἀριςοφ. Ἀχαρ. 361.

Εἶναι. Οὐδὲν ῦτω τῶν Ῥημάτων χαίρει τῇ Ἐλλείψει ὡς τὸ ἐςί.

„ Καὶ ὁμολογῦσι τῦ αὐτῦ μηνὸς πάντα. δηλ. εἶναι. Αἰλ. Ποικ. Ἱςορ. β΄.

„ Ὡς δὲ ὁ τῶν ἀληθευόντων λόγος. δηλ. ἐςίν. Γρηγόριος.

„ Καὶ ῦδὲ ἐπαυλισθῆναι τῆς πόλεως αὐτοῖς θέμις. δηλ. ἐςί. Διον. Ἀλικ. ή.

„ Λῆρος. δηλ. ἐςί. Ἀριςοφ. Πλ. 23.

Πᾶς γὰρ ὁ μετέχων γάλακτος, ἄπειρος λόγυ δικαιοσύνης, (ἐςὶ) πρὸς Ἑβρ. ιγ΄.

„ Χάρις ὑμῖν καὶ εἰρήνη ἐν Προοιμίοις

τῶν Ἐπιςολῶν, ὁ Κύριος μετὰ σοῦ, Λουκ. ά. 28. εἰρήνη τῷ οἴκῳ τούτῳ. δηλ. ἔςω.

„ Ἐπισκοποῦντες μήτις ὑςερῶν, (ᾖ) ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ. πρὸς Ἑβρ. ιβ'. 15. Ἀλλὰ ταῦτα, καὶ τὰ τούτοις παραπλήσια εὐσύνοπτα τοῖς καὶ μικρὸν ἐπιςήσασι. Τὰ δὲ ἐφεξῆς ἐκτεθησόμενα οὐχ ὁμοίως τοῖς πᾶσι ἔςαι καταφανῆ.

Λείπει γὰρ τὸ ῥῆμα τοῦτο ἔνθα Ὀνομαςικὴ κεῖται χρόνου σημαντική.

„ Ἐγίνετο δὲ μετὰ τοὺς λόγους τούτους ὡσεὶ ἡμέραι ὀκτὼ, καὶ παραλαβών. ἀντὶ τοῦ, ὡσεὶ ἡμέραι ἦσαν ὀκτώ.

„ Αἱ ἡμέραι ἐρχόμεναι (ἦσαν) τὰ πάντα ἐπελήσθη. Ἐκκλ. ιά. 16.

„ Οὐ γὰρ ἑώρακα, πολὺς ἤδη χρόνον, αὐτὸν παρ' ὑμῖν. Λουκ. Διαλ. Ἐρωτ. ἀντὶ τοῦ πολὺς ἐςὶν ἤδη χρόνος.

Ἐν τῷ ὥρα. ὥρα νῦν ἀπιέναι, ὥρα ποιῆσαι.

Ἐν τῷ ὅσαι, καὶ ὅσον. ὅσαι νύκτες.

„ Πίνουσιν ὅσον ἁρπάσαι. ἀντὶ τοῦ, πίνουσι τοσοῦτον ὕδωρ, ὅσον ἐςὶν ἁρπάσαι.

„ Ὅσον ἀψαμένῳ τεκμήρασθαι. Αἰλ. Ποικ. Ἱςορ. ά. 4. καὶ ιγ'. καὶ παρὰ Συνεσίῳ ὅσον εἰκάσαι.

Καὶ ὥσπερ ἐν τούτοις μετὰ τὸ ὅσον ὑπακουςέον τὸ ἐςί. οὕτω πρὸ τοῦ ὅσου ἐν τοῖς ἑξῆς. θαυμαςὸν ὅσον, ὑπερφυὲς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φυὲς ὅσον, ἀμήχανον ὅσον. οἷον, θαυμαςὸν ὅσον ἐπιδέδωκεν. ἀντὶ τȣ̃ θαυμαςὸν ἐςὶν, ὅσον ἐπιδέδωκεν.

„ Διαφέρουσι θαυμαςὸν ὅσον. ἀντὶ τȣ̃ θαυμαςὸν ἐςὶ ὅσον διαφέρȣσι. Ἀριςοτέλης.

Εἰπεῖν. Ἀργαλέον, ὡς σοφός, ἀντὶ τȣ̃ ἀργαλέον εἰπεῖν. Ἀριςοφ. Σφ. 1270.

Καὶ ἐν τῷ συνελόντι. ὑπακȣςέον τὸ εἰπεῖν ἢ φάναι. ἵνα ᾖ τὸ πλῆρες τȣ́τȣ, ὡς συνελόντι λόγῳ εἰπεῖν.

Ἐξετάζομαι. Ἐν τῷ πρός τι, ϗ ἐν τῷ ὡς πρός τι.

„ Λογίζομαι γὰρ, ὅτι ȣ̓κ ἄξια τα παθήματα τȣ̃ νῦν καιρȣ̃ πρὸς τὴν μέλλȣσαν δόξαν. ἀντὶ τȣ̃ ȣ̓κ ἄξια ἐξετάζεθαι πρὸς τὴν δόξαν. πρὸς Ῥωμ. ή. 18.

Χρόνος μικρὸς, ὡς πρὸς τὸν ἅπαντα. ἤγȣν ἐξεταζόμενος. Πλάτων. Πολ. ϛ'.

„ Ὅτι λῆρος ἐςὶ τἄλλα πρὸς τὸν Κινησίαν. δηλ. ἐξεταζόμενα. Ἀριςοφ.

„ Μηδεὶς δοκείτω, μηδὲν ἀνθρώπων ποτέ.

„ Ἄελπτον εἶναι πρὸς τὰ τυγχάνοντα νῦν δηλ. ἐξεταζόμενον. Εὐριπ. Ἡρᾳ 151.

Εὑρίσκεται δὲ ἀνελλιπὲς παρὰ Λȣκιανῷ.

„ Οὐ μικρὰ . . . ὡς πρὸς τὴν δύναμιν ἐξετάζεθαι τῆς συμπάσης ἀρχῆς. Ἱερεὺς, ϗ Κρόνος.

„ Ὅ

„ Ὃ πρὸς μὲν τοὺς νῦν ἐξεταζόμενον βίους γέλωτος ἂν ἄξιον φανείη. Διον. Ἀλικ. θ΄.

Δυνατὸν δὲ ὑπακούεσθαι ἀντὶ τοῦ ἐξετάζεσθαι, τὸ συγκρίνεσθαι, ἀντικρίνεσθαι, ἢ παραβάλλεσθαι. Ὡς κεῖνται παρὰ Αἰλιανῷ, καὶ Ἰωσήπῳ.

„ Ῥώμην τε καὶ ἀλκὴν τὰ πρῶτα φέροιτ' ἂν πρὸς ἐκείνους ἀνταποκρινόμενος. Αἰλ. Ἱστορ. Ζώων ιγ΄.

„ Πάντες . . . ὡς πρὸς ἐκεῖνον παραβαλλόμενοι. Ἰώσ. κατ' Ἀπίωνος β΄.

Ἐξηγέομαι. Ἡνίκα παρὰ τοῖς Σχολιασαῖς Ποιητῶν καὶ Συγγραφέων εὑρίσκεται τὸ ἄλλως ὑπακουσέον τὸ ἐξηγοῦνται τινὲς, ἢ ἐξηγήσαντο, ἵνα ᾖ τὸ πλῆρες, ἄλλως τινὲς ἐξηγοῦνται, ἢ ἐξηγήσαντο.

Ἐπάγεσθαι. Λείπει ἐν τῇ παροιμίᾳ. ὁ Καρπάθιος τὸν Λαγών.

„ Καρπάθιος δὲ λαγών, κατ' ἔλλειψιν τοῦ ἐπηγάγετο, διὰ τὸ μὴ εἶναι Λαγωοὺς ἐν τῇ χώρᾳ (ἤτοι τῇ Καρπάθῳ Νήσῳ) οὓς ἐπηγάγοντο αὐτοὶ καὶ τοσοῦτοι ἐγένοντο, ὥστε τόν τε σῖτον αὐτῶν καὶ τὰς ἀμπέλους ὑπ' αὐτῶν βλάπτεσθαι. Ἀριστοτ. Ῥητ. γ΄. ιά.

Ἐπείγει. „ Χρεὼ βουλῆς ἐμὲ καὶ σέ. δηλ. ἐπείγει. Ὅμ. Ἰλ. κ. 43.

Ἐργάζεσθαι. „ Δυσφιλὲς γαμήλευμ', ἀπέχευτον δόμοις γυναικοβούλοις τὲ μήτιδας φρενῶν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νῶν. Ἔνθα ὁ Σχολιαστὴς φησί.. λείπει εἰργάσατο. Αἰσχύλυ Χοηφόροι. 618.

Ἔρχομαι. Ἐν τῷ δεῦρο.

„ Δεῦρο εἰς τὴν γῆν ἣν ἄν σοι δείξω. ἀντὶ τῦ ἐλθὲ δεῦρο. Πράξ. ζ'.

Ἢ ἀντὶ τῦ ἐλθὲ, τὸ ἴθι, ἢ χώρει.

„ Δεῦρο ἴθι πρὸς ἡμᾶς. Λύκιος, ἢ Ὄνος.

„ Χώρει δεῦρο. Ἀρισοφ. Θεσμοφ.

„ Ἀνελλιπῶς παρ' Ὁμήρῳ Ὀδ. μ. Δεῦρο μῦσ' ἐλθέ. καὶ παρ' Ἀρισοφάνει.

„ Γλαυκῶπι χρυσόλογχε . . . ἐλθὲ δεῦρο. Ἀρισοφ. Θεσμοφ. 325.

Εὔχομαι. Ἐν τῷ χαίρειν, εὖ πράττειν, εὖ διάγειν, ὑγιαίνειν. ἵνα τὸ πλῆρες ᾖ, τῦ Ἀλέξανδρος Ἀριστοτέλει χαίρειν. Ἀλέξανδρος εὔχεται Ἀριστοτέλει τὸ χαίρειν.

Εἰ μή τις εἴπῃ, ὅτι τὸ χαίρειν καὶ τὰ λοιπὰ λαμβάνονται ὡς ἔθος τοῖς Ἕλλησιν, ἀντὶ τῦ χαῖρε, εὖ πράττε, κατ' Ἀντέγκλισιν.

Καὶ ἐν τῷ μὴ γένοιτο. μετὰ τῦ ἵνα. οἷον, εὔχομαι ἵνα μὴ γένοιτο.

Τοιῦτον τὶ καὶ τὸ ὡσαννὰ τῷ υἱῷ Δαβίδ. ἤτοι εὐχόμεθα, σῶσον δὴ, τῷ υἱῷ Δαβίδ.

Ἔχει. Ὑπακυστέον ἐν τῷ, ὡς ὁ λόγος. Ἵνα γένηται ὡς ὁ λόγος ἔχει, ἢ κατέχει, ὡς παρὰ Ἀρριανῷ ά. θῦσαι δὲ αὐτὸν

καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ϗ Πριάμῳ ἐπὶ τῦ Διὸς τῦ Ἑρκείυ, λόγος κατέχει·

„ Καὶ ἐν τῷ, πῦ ὁ τὸ ξύλον; δηλ. ἔχων παρὰ Λυκιανῷ ἐν Κατάπλῳ. Σίμων ὁ τὰ πιναρά, παρὰ τῷ αὐτῷ Ἀλέκτρ. ὁ τὴν σύριγγα. δὶς κατηγ. ἡ τὰ ποικίλα, δηλ. ἔχυσα. Δραπ.

## Θ.

Θαυμάζω· „ Τὸν δὲ μὴ πατάξαι σ' ἐξελέγξαντ' ἄντικρυς

„ Ὅτι δῦλος ὢν ἔφασκες εἶναι δεσπότης. Ἀριςοφ. Βατρ.

„ Λείπει τὸ θαυμάζω, ὡς ὁ Σχολιαςής.

Θέλω. Ἀντὶ Προςακτικῶν πολλάκις τὰ Ἀπαρέμφατα χρῶνται οἵτε Ποιηταί, ϗ οἱ καταλογάδην γράφοντες. Οἷον, μὴ κλέπτειν, ἀντὶ τῦ μὴ κλέπτε, μὴ μοιχεύειν, μὴ πείθεσθαι, ὡς παρὰ Λυκιανῷ ἐν τῷ, Ῥητόρων Διδάσκαλος. εἰμή τις εἴποι, ὡς Ἰωάν. ὁ Τζέτζης, λείπειν τὸ θέλει τὰ τοῦ Ἡσιόδου σχολιάζων. Ἡσ. Ἔργα. Ἄρχεσθαι ἀμητῦ.

„ Τὸ ἄρχεσθαι, καὶ πάντα τὰ Ἀπαρέμφατα ἀντὶ Προςακτικῶν τίθησιν ὁ Ποιητὴς ἢ νοεῖται ἐπὶ πᾶσι τὸ θέλε. οἷον, θέλε ἐργάζεσθαι. θέλε σπείρειν, βοωτεῖν, ϗ τὰ ὅμοια. ϗ ταῦ-

τα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τα μὲν ἐκεῖνος. Δοκεῖ δὲ κρεῖττον, ὅταν πρόσκειται αἰτιατικὴ πτῶσις τȣτοις κ) τοῖς ὁμοίοις Ρ῾ήμασι, νοεῖσθαι τὸ δεῖ, ἢ χρὴ.... γυμνὸν σπείρειν γυμνὸν δὲ βοωτεῖν.

Γυμνὸν δ' ἀμᾶσθαι. δηλ. δεῖ σε γυμνὸν σπείρειν. τὸ γὰρ θέλε γυμνὸν σπείρειν ἀσύντακτον.

## Ι.

Ι῾κετεύω. „ Μὴ πρὸς σὲ γονάτων, τῆς τε νεογάμου κόρης. Εὐριπ. Μήδεια 334.

Ε᾿νταῦθα ὑπακȣςέον τὸ ἱκετεύȣσαν. Ο῾ γὰρ Κρέων ἐξορίαν τῇ Μηδείᾳ προσάγει ἐν τȣτοις τοῖς ςίχοις.

„ Α᾿λλ' ἔξεθ' ὡς τάχιςα, μὴ λόγους λέγε

„ Ω῾ς ταῦτ' ἄρηρε, κȣκ' ἔχεις τέχνην ὅπως

„ Μενεῖς παρ' ἡμῖν.

„ Πρὸς ἃ ἐκείνη.

„ Μὴ ȣκ ἐάσεις μένειν πρὸς γονάτων τῆς τε νεογάμȣ κόρης σὲ ἱκετεύȣσαν.

Παραπλησία ἔλλειψις ἐςὶ ἐν τῇ Α᾿νδρομάχῃ. Στίχ. 892.

„ Α᾿γαμέμνονος παῖ, πρὸς σὲ τῶν δε γονάτων

„ Οἴκτειρον ἡμᾶς. πρόδηλον, ὅτι λείπει τὸ ἱκετεύω. ὃ σαφέςερον γίνεται



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ται ἐκ τȣ̃ προςιθέναι τὸ Ρ῾ῆμα τȣ̃το τὸν Ποιητὴν ἐν Μηδείᾳ Στίχῳ 853.

„ Πρὸς γονάτων σε πάντες.

„ Πάντως ἱκετεύομεν.

Εἰ γὰρ ἡ πρὸς Πρόθεσις, ἔνθα ἱκεσία γίνεται, ἄνευ Ρ῾ήματος λαμβάνεται. Α᾽λλ᾽ ȣ̃ν γε, ὅτε Αἰτιατικὴ ᾖ, ὡς ἐνταῦθα τὸ σὲ, χρεία ϗ Ρ῾ήματος. οἷον, τὸ ἱκετεύομεν.

## Κ.

Κεῖμαι. Τὰ ἄλλα διὰ μέσȣ. ὡς εἴθιςαι λέγειν τοῖς Σχολιαςαῖς, ὑπακουόμενον ἔχει τὸ κεῖται ἢ τίθεται, ἵνα ᾖ τὸ πλῆρες. τὰ ἄλλα κεῖται διὰ μέσȣ.

Κελεύω. Εἰ ϗ τὰ Α᾽παρέμφαλα κατ᾽ Α᾽ντέγκλισιν ἀντὶ τῶν Προςακτικῶν λαμβάνονται. Δοκεῖ ἔμπης ἔν τισι ὑπακȣςέον εἶναι τὸ κελεύω. οἷον, μὴ διδάσκειν τȣ̃το. ὡσανεὶ ἔλεγε. κελεύωσε μὴ διδάσκειν τȣ̃το. γίνεται τȣ̃το σαφέςερον ἐκ τῶν τȣ̃ Η῾σιόδȣ ἐν τῷ Ε῎ργα, Στίχῳ 603. Ε῎νθα πρόσκειται τὸ κέλομαι, ὅπερ ταυτοσήμαντον ἐςὶ τῷ κελεύω.

. . . . Αὐτὰρ ἐπὴν δὴ

Πάντα βίον κατάθηαι ἐπάρμενον ἔνδοθεν οἴκȣ,

Θῆτα ἄοικον ποιεῖσθαι, ϗ ἄτεκνον ἔριθον

Δίζεσθαι κέλομαι.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Κεράννυμι. „Ἐὰν δ' ἶσον ἴσῳ προσφέρῃ. Μνησίθεος ὁ Κωμικὸς παρ' Ἀθηναίῳ τῷ Δειπνοσοφιςῇ. λείπει τὸ, οἶνον κεκραμένον. Ὁ δ' Ἀριςοφάνης τίθησιν ἐν Πλέτῳ 133.

„Οἴμοι δὲ κύλικος ἶσον ἴσῳ κεκραμένης.

# Λ.

Λαμβάνω. „Παρὰ τȣ͂ πάππου Οὐήρȣ τὸ καλόηθες κ̀ ἀόργητον. νόει τὸ λαβών. παρὰ Μάρκῳ Ἀντωνίνῳ, τῶν εἰς ἑαυτὸν ά.

Λέγω. Πολλάκις παραλείπεται ἐν ταῖς διηγήσεσιν, ὡς παρ' Αἰλιανῷ Ποικ. Ι'ς. ά.

„Ταῦτα πρὸς τὸν Σωκράτην ὁ Ἀπολλόδωρος. δηλ. ἔλεγε, κ̀ ὁ Κύριος πρὸς αὐτόν. ἔλεγε. Πράξ. θ'. 6.

„Ὡς μὲν οἱ τὰ ἐκείνȣ φρονȣ͂ντες, δηλ. λέγȣσι. παρὰ Γρηγορίῳ.

„Ἦν δ' ἔρις ςρατηλάταις.

„Οἱ μὲν πατάξαι πρόσθε πολυνείκην δορί

„Οἱ δ' ὡς θανόντων, ȣ̉δαμȣ͂ νίκη πέλοι. Εὐριπ. Φοιν. 1471.

Λείπει τὸ λέγοντες κατὰ τὸν Σχολιαςὴν, ἢ τὸ ἔλεγον.

„Μή μοι τὶν κακόδȣλον τȣ͂ ἀσελγεσάτȣ Διὸς, δηλ. λέγε, ἢ εἴπῃς. Λȣκ. Φιλόπατρις.

Εὐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

## Μ.

Μίγνυμαι. Εὐσχημοσύνης χάριν ἐνίοτε παραλείπεται.

„ Ὣς ἔτυχε, λῆδ' ὄρνιθι. λείπει τὸ μιγεῖσα.

## Ν.

Νοέω. Ἐν τῷ ἄλλως. ἵνα ᾖ τὸ πλῆρες. ἄλλως νοοῦσι, ἢ ἐνόησαν τινὲς ἤ τι τοιοῦτον.

## Ο.

Οἰκέω. „ Καὶ οἱ περὶ Τύρον. δηλ. οἰκοῦντες. Μάρκος γ'.

Ὀνειρώττω. Ἐν τῷ ἐκμιαίνομαι. ἤτοι ἀποσπερματίζω.

„ Ἐκμιαίνομαι, δηλ. ὀνειρώττων. Ἀριστοφ. Βατρ. 765.

Ὀμνύω. Ἐν τῷ νὴ τὸν Δία, νὴ τὸν Θεὸν, καὶ τοῖς ὁμοίοις. τὸ γὰρ πλῆρες ταῦθ' οὕτως ἔχειν νὴ ὀμνύω, ἢ μαρτύρομαι τὸν Θεόν. ὡς παρ' Ἀριστοφ. Θεσμοφ. ἀντὶ τοῦ νὴ τὸν Δία, νὴ τοὺς Θεοὺς, ὄμνυμι νὴ τὸν Δία, καὶ ὄμνυμι τοίνυν τοὺς Θεούς.

„ Ὄμνυμι τοίνυν αἰθέρ' οἴκησιν Διός.

„ Ὄμνυμι τοίνυν πάντας ἄρδην Θεούς. Ὁ αὐτός.

„ Ἄφες

„ Ἄφες με, τοὺς Θεοὺς σοι.

„ Πιεῖν, πιεῖν, ἀμυστί. παρὰ Ἀνακρέοντι Ὠδῇ λα΄. Ἔνθα δοκεῖ λείπειν τὸ ὄμνυμι. ἵνα ᾖ. Ἄφες με τοὺς Θεούς σοι ὄμνυμι.

Ὀνομάζομαι. „ Ἀπὸ τοῦ (ὀνομαζομένου) ὁ ὢν, καὶ ὁ ἦν, καὶ ὁ ἐρχόμενος. Ἀποκ. α΄.

Ὁρῶ. Πολλάκις καὶ ἐν πολλοῖς τὸ Ῥῆμα τόδε σεσίγηται. ὡς παρ᾽ Ἀριστοφ. Νεφ. 256.

„ Ὥς περ με τὸν ἀθάμανθ᾽ ὅπως μὴ θύσετε. λείπει τὸ ὁρᾶτε.

Ὁρμῶ. „ Ὁ Γεωργὸς δὲ λίθοις ἐπὶ τὸν Ἡρακλέα. δηλ. ὅρμα. Φιλοστρ. Εἰκ. β΄.

# Π.

Πάρειμι. „ Ἰδοὺ ἡ δούλη Κυρίου. δηλ. πάρεστι. Λουκᾶς α΄.

„ Ἰδοὺ ἡ δούλη σου εἰς παιδίσκην. Σαμουὴλ. α΄. κέ. 41.

Παρεκβαίνω. „ Ὅθεν ὁ λόγος. Ἐκεῖσε ἐπανιτέον. Θεόφρ. περὶ Αἰτίων ς΄. ἀντὶ τοῦ ὅθεν δ᾽ ὁ λόγος παρεξέβη.

Παρέχω. „ Μόνον μὴ τὴν ἐλευθερίαν (παρέχετε) εἰς ἀφορμὴν τῇ σαρκί. πρὸς Γαλάτ. ε΄. 13.

Παύομαι. „ Ἀλλ᾽ εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί. ὁ τοῦ Ἀριστ. Σχολιαστής. Ἔνθα λείπειν φησὶ τὸ παύσομαι, ἢ ἡσυχάσω.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πέμπω. „ Γλαῦκας εἰς Ἀθήνας δηλ. πέμπειν, ἢ ἄγειν.

Περιβάλλομαι. „ Ἐκεῖσε ἀπόβλεψον εἰς τὴν μεγάλην ἀκρόπολιν τὴν τὸ τριπλοῦν τεῖχος δηλ. περιβεβλημένην.

„ Ἡ Βαβυλὼν δέσποι, ἐκείνη ἐςὶν, ἡ εὔπυργος, ἡ τὸν μέγαν περίβολον, δηλ. περιβεβλημένη.

Ποιῶ. „ Μόνος ἐκεῖνος ὐδὲν ἄλλο (ἐποίει) ἢ τὺς πεπτωκότας περιελαύνων ἐθεάτο.

„ Τί γὰρ ὐκ ἔμελλον δηλ. ποιήσειν. Ξενοφ. Κυροπ. ά.

„ Ἄκος τομαῖον ἐλπίσασα πημάτων. Αἰσχύλος Χοηφ.

Λείπει τὸ ποιεῖν κατὰ τὸν Σχολιαςήν.

„ Ὁ μὲν ὖν Ἀλέξανδρος μεγαλοφώνως ταῦτα καὶ μεγαλοπρεπῶς. δηλ. ἐποίει.

„ Τί δ' ὐκ ἐγώσε, δηλ. ἐποίησα. τί δ' ὐκ ἐμὲ σὺ, δηλ. ἐποίησας.

„ Μηδὲν κατ' ἐρίθειαν, ἢ κενοδοξίαν: δηλ. ποιῦντες.

## Σ.

Σκοπῶ. Τὸ Προςακτικὸν δεύτερον Πρόσωπον τύτυ τῦ ῥήματος ὑπακυςέον πρὸ τῦ ὅπως Ἐπιῤῥήματος, ὡς καὶ τὸ ὅρα καὶ βλέπε. ἐν πολλοῖς δὲ ἡ τύτυ Ἔλλειψις.

„ Ὦ πηγασιόν μοι φησὶ γενναῖον πτερόν.

„ Ὅ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„ Ὅπως πετήσει μ' εὐθὺ τοῦ Διὸς λαβών. σκόπει ὅπως πετήσει. Ἀριστοφ. Εἰρ.

„ Ὅπως καὶ τοῦτό με διδάξῃς, μηδένα. ὅρα ὅπως. ὁ αὐτὸς Νεφ.

Ὅθεν φησὶν ὁ Σχολιαστὴς, ἡ Ἀττικὴ ἔλλειψις ἐν ἀρχῇ γίνεται ὡς τὸ ὅπως μὴ ποιήσῃς τόδε. νοουμένου ἔξωθεν τοῦ σκόπει.

„ Πρότερος οὖν ὦ Ἑρμῆ λέγε. καὶ ὅπως μου ὡς δεινότατα κατηγορήσῃς. Λουκ. Προμ.

„ Ὑπόστηθι καί . . . . ὅπως οἱ κόλακες ἐκεῖνοι ὑπὸ τοῦ φθόνου διαῤῥαγῶσι. Ὁ αὐτὸς Τίμ.

Στραλεύομαι. Τάφοι τῶν εἰς Θῆβας. ἤτοι στρατευσάντων. Παυσανίας ἐν Ἀττικοῖς λθ'.

Συνδειπνῶ. Ἐν τῷ ὅπως παρέσει μοι. τὸ γὰρ πλῆρες ὅπως παρέσει μοι συνδειπνησόμενος.

Συνίσαται. Ἐννοεῖται πρὸ τῆς ἐν, Προθέσεως.

„ Τὴν συγγένειαν αὐτοῦ (συνισαμένην) ἐν ψυχαῖς ἑβδομήκοντα πέντε. Πράξ. ζ'.

Συνισάμενοι. Ἐν ἑβδομήκοντα ψυχαῖς κατέβησαν οἱ πατέρες σου εἰς Αἴγυπτον. Δευτερονομ. ι.

# Τ.

Τρέπομαι. „ Εἰς κεφαλὴν σοί, ἀντὶ τοῦ εἰς κεφαλήν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λήνσυ τρεπέσθω, ἢ ἐλθέτω τὸ δεινόν.

## Φ.

Φημί. Ὁ δὲ, ἀντὶ τῦ ὁ δὲ ἔφη.

„ Ἐπεὶ δέ τις ἔφη πρὸς αὐτὸν, ὅτι μέγα ἐςὶν, ὧν ἐπιθυμεῖτις, τύτων τυχεῖν. ὁ δὲ ἀλλὰ μεῖζον ἐςίν. Αἰλ. Ποικ. Ἱςορ. θ'. 29.

Ὡσαύτως τὸ οἱ δὲ, ἀντὶ τῦ οἱ δὲ φασίν.

Φθέγγομαι. Ἐν τῷ τί περισσὰ, ὡς παρὰ Καλλιμάχῳ. ἔνθα φησὶν ὁ Σχολιαςὴς λείπει τὸ φθέγγομαι.

Φθίνω. Πέμπτη, τετρὰς, τρίτη, μετὰ ταύτην δευτέρα. λείπει τὸ φθίνοντος μηνὸς, ὡσανεὶ ἔλεγεν εἰκοςὴ ἕκτη, εἰκοςὴ ἑβδόμη, εἰκοςὴ ὀγδόη, εἰκοςὴ ἐννάτη. Ἀριςοφ. Νεφ.

Φοβῦμαι. Τὸ φοβῦμαι, ἢ δέδοικα, ἢ δέδια ἐννοητέον πρὸ τῦ εἰ μὴ, ἢ μή πως.

„ Μήτις μοι Δαναῶν νεμισήσεται, ὅς κεν ἴδηται. Ἰλ. π. 93.

„ Μὴ δή μοι τελέσωσι Θεοὶ κακὰ κήδεα θυμῷ. Ἰλ. σ. 8.

Φέρω, ἢ Φορῶ. Λείπει ἐν τῷ πῦ ὁ τὸ ξύλον; παρὰ Λυκιανῷ, Κατάπλ. Σίμων ὁ τὰ πιναρά. Ἀλεκ., ὁ τὴν σύριγγα, Δισκατηγ., ἢ τὰ ποικίλα, ὁ τὴν κιθάραν. Δραπε.

Χρὴ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# Χ,

Χρὴ, ἢ προσήκει. Ὑπακουστέον ἐν τῷ τί; ἐρωτηματικῷ.

„ Τί τὰς ἀναλωθέντας ἐν ψήφῳ λέγειν; τὸ χρὴ κατὰ Συνεκδοχὴν, ἤγουν τί δεῖ ψηφίζεσθαι περὶ τῶν ἀπολωλότων, φησὶν ὁ Σχολιαστής. Αἰσχύλος Ἀγαμέμ. 194.

„ Μήτε σιωπεῖλὴν κίθαριν, μήτ᾽ ἄψοφον ἴχνος.

„ Τὰ Φοίβα, τὰς παίδας (χρὴ) ἔχειν ἐπιδημήσαντος. Καλλίμαχος Ὕμνῳ Ἀπόλλωνος 12.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΕΡΙ' ΕΛΛΕΙ'ΨΕΩΣ

## Προθέσεων κειμένων κατὰ Ἀλφάβητον.

## Α.

Πολλὴ παρὰ τοῖς Ἕλλησιν ἡ τῶν Προθέσεων Ἔλλειψις. Ἣν ἔνιοι τῶν Γραμματικῶν ἀγνοήσαντες ἐ τὰς προσηκέσας ταῖς Πτώσεσιν ὀνομασίας παρέσχον. Αὐτίκα γὰρ ἡ γενικὴ, ἣν αὐτοὶ καλοῦσιν ὠνῆς σημαντικὴν, ἐλλειπτικὴ κυρίως ἐςὶ προθέσεως. Ὡ'σαύτως καὶ ἡ πωλήσεως καὶ ἡ ἀλλαγῆς σημαντικὴ, ἐλλειπτικὴ ἂν εἴη προθέσεως ἑκατέρα. Ὡ'ς ἔςαι δῆλον ἐκ τῶν ὑποκειμένων παραδειγμάτων.

### Ἀντί.

„ Ἐν τῷ μνήματι, ὃ ὠνήσατο Ἀ'βραὰμ τιμῆς ἀργυρίε. ἔ τὸ πλῆρες, ἀντὶ τιμῆς ἀργυρίε. Πράξ. ζ΄. 16.

„ Χρυ-

„ Χρυσὸν φίλȣ ἀνδρὸς ἐδέξατο, ὡσανεὶ ἔλεγε, ἀντὶ φίλȣ. Ὀδυσ. λ.

„ Οὕτω καὶ χρύσεα χαλκείων ἀμείβομεν. ἀντὶ χαλκείων. καὶ τȣ̃ τυρανικοῦ βίου φυγὴν αὐθαίρετον ἀλλαξάμενος. Αἰλ. Ποικ. Ἱστορ. γʹ. 26. ἀντὶ τυρανικȣ̃ βίȣ.

„ Οὐχὶ δύο στρȣθία ἀσαρίȣ πωλεῖται. ἤτοι ἀντὶ ἀσαρίȣ. Ματθ. ιʹ. 29.

Ὅτι δὲ ἐν τοῖς ἐκτεθεῖσιν ὑπακȣστέα ἡ ἀντὶ πρόθεσις ἐπιγνοίη ἄντις σαφῶς ἐκ τῶν ἐφεξῆς ὑποδειγμάτων, οἷς πρόσκειται ἡ πρόθεσις.

„ Εἰ μὴ προϊέμενος ταῦτα, ἀνθ' ὧν ἐκεῖνα πιπράσκεται. Ἐπικτ. Ἐγχειρίδ. 32.

„ Ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια αὐτȣ̃. πρὸς Ἑβρ. ιβʹ. 16.

„ Καὶ τὰ κοράσια ἐπώλȣν ἀντὶ τοῦ οἴνου, καὶ ἔπινον. Ἰωήλ. γʹ. 3. κατ' ἔλλειψιν δὲ ταύτης τῆς προθέσεως εὐχερῶς ἂν νοηθείη, τὸ δοῦναι τί τινος, ἀντὶ τȣ̃, ἀντὶ τινὸς δȣ̃ναι τί.

„ Τί δ' ἂν δώῃ τὶς ἀνδρὸς, τὴν αὐτὴν τοῖς κιναίδοις ὀδμὴν ἔχοντος. Λȣκ. Κυνι.

„ Οὐκ ἂν ἔτι δοίην τῶν Θεῶν τριώβολον. δηλ. ἀντὶ τῶν Θεῶν. Ἀρισ. Εἰρ.

„ Κεῖσε καὶ εὐναίης ὀλίγον λίθον ἑλκύσαντες. Ἀπολ. Ῥόδιος. αʹ. 955.

Ἔνθα ὁ Σχολιαστὴς φησί. λείπει ἡ ἀντὶ πρόθεσις, ἵνα ᾖ τὸν ἀντὶ εὐναίας καὶ ἀγκύρας λίθον.

## Ἀπό.

Πολλάκις ἐννοεῖται ἡ ἀπὸ ἔξωθεν ἐν ταῖς γενικαῖς πτώσεσι συντασσομέναις ῥήμασιν, ἐπιθέτοις ὀνόμασι, ἐπιῤῥήμασι. Ἃς συντακτικὰς τῶν ῥημάτων, ὀνομάτων, ἐπιῤῥημάτων, οἱ πολλοὶ τῶν Γραμματικῶν λέγουσι. οὐκ εἰσὶ δὲ μᾶλλον δὲ συντακτικαὶ τῶν προθέσεων κατ' ἔλλειψιν.

Οἷον ἀπέχεσθαι κακῶν οὗ τὸ πλῆρες. ἀπέχεσθαι χεῖρας, ἢ ἑαυτὸν ἀπὸ κακῶν.

„ Ὡς δῆλον ἐκ τοῦ. Ἀπέχεσθαι ὑμᾶς ἀπὸ τῆς πορνείας. πρὸς Θεσσαλ. ά. δ'. 3.

Ἀπέχειν τινὸς, ἤγουν ἀπό τινος.

„ Ὡς τὸ εἰς κώμην ἀπέχουσαν σταδίους ἀπὸ Ἱερουσαλὴμ. Λουκᾶς ιέ. 20.

Οὕτω καὶ ἔχειν τινός. ἀντὶ τοῦ ἔχειν ἀπό τινος. παρὰ Δίωνι Κασίῳ.

Καὶ ἐπέχειν δρόμου παρ' Ἀριστοφάνει, Ὄρν. 1200. καὶ ἀνελλιπῶς παρὰ τῷ αὐτῷ. Ἐπέχειν ἀπὸ τῶν χαλαζῶν.

Φείδεσθαι τινὸς, ἀντὶ ἀπό τινος. ὡσαύτως καὶ ἀφιέναι, ἀπολύειν, ἐλευθεροῦν, ῥύεσθαι τινός.

„ Καὶ οὐ φείσῃ ἀπ' αὐτοῦ. Βασιλειῶν ά. ιέ. 3.

„ Νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας. πρὸς Ῥωμ. ς'. 22.

„ Ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Ματθ. ς'. 13.

Χωρίζειν, ἢ χωρίζεσθαι τινὸς, ἀντὶ ἀπό τινος.

„ Ὡς τὸ τοῦ Πλάτωνος. Ὁ θάνατος χωρίζει τὴν ψυχὴν ἀπὸ τοῦ σώματος.

„ Τὶς

„ Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τȣ̃ Χριςȣ̃. πρὸς Ῥωμ. ή. 35.

„ Γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι. Α'. πρὸς Κορ. ζ'. 10.

Ἁρπάζειν θανάτȣ. ἀντὶ ἀπὸ θανάτȣ. ἱςᾶναι τι τινὸς, ἀϊλὶ ἀπό τινος.

„ Τȣ̀ς ἐν κακίᾳ ζῶντας ἵςησι μὲν τῆς ἀτόπου πλάνης. Γρηγ. Νύσ. ἐν Ψαλμοῖς. Εἴργειν τινὰ τινὸς ἀντὶ τοῦ ἀπό τινος.

Τοὺς ὑεῖς εἴργȣσιν οἱ πατέρες ἀπὸ τῶν πονηρῶν ἀνθρώπων. παρὰ Ξενοφῶντι.

Ὑςερεῖν, ἢ ὑςερεῖσθαι τινός. ἀντὶ ἀπό τινος.

„ Ὑςερεῖσθαι δόξης. πρὸς Ῥωμ. γ'. 24.

„ Μή τις ὑςερῶν ἀπὸ τῆς χάριτος τȣ̃ Θεȣ̃. πρὸς Ἑβρ. ιβ'. 5.

Ἅπτεσθαι τινὸς, ἀντὶ ἀπό τινος.

„ Ἢ ἅψηται ἀπὸ ἀκαθαρσίας ἀνθρώπου, ἀπὸ πάσης ἀκαθαρσίας αὐτȣ̃. Λευϊτ. έ.

Παύσασθαι τινὸς, ἀντὶ ἀπό τινος.

„ Παυσάμενοι κλαγγῆς. Ἰλ. β.

Λήγειν τινὸς, ἀντὶ ἀπό τινος.

„ Οὐ πρότερον ἔμελλε τῆς ὀργῆς λήξειν ἀπολαύειν τινός.

„ Ὡς ἂν ἀπὸ τȣ́των τι ἀπολαύοιμι.

Πρός δε τȣ́τοις καὶ αἱ ὑλικῆς σημαντικαὶ λεγόμεναι ἔλλειψιν προθέσεων ἐχήκασι.

„ Μολίβδου πεποιημένα. ἀντὶ ἀπὸ, ἢ ἐκ μολίβδȣ. Αἰλ. Ποικ. Ἱς. θ'. 14.

„ Κλίνη ἦν μεγάλη ἀπὸ χελώνης Ἰνδικῆς πεποιημένη. Λȣκ. Λȣ́κιος, ἢ Ὄνος.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἡ τοιαύτη ἔλλειψις εὑρίσκεται καὶ ἐν πολλοῖς ἐπιθέτοις ὀνόμασι.

Οἷον ἐνδεὴς τῶν καθ' ἡμέραν, ἀντὶ τοῦ ἀπὸ τῶν καθ' ἡμέραν. ἁγνὸς, ἐλεύθερος, γυμνὸς, κενὸς, μόνος, οἷος, ἄλλος, ἀλλότριος.

„ Ἐλευθέρα ἐστὶ ἀπὸ τοῦ νόμου. πλῆρες. ἐλεύθερος κακίας κατ' ἔλλειψιν. πρὸς Ῥωμ. ζ'.

„ Σῶμα πληγῶν ἀθῷον. κατ' ἔλλειψιν. Ἀριστοφ. Νεφ. 201.

„ Ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου. πλῆρες. Ματθ. κζ'. 24. κενὴ οἰστῶν ἡ φαρέτρα παρὰ Λουκιανῷ δηλ. ἀπὸ οἰστῶν. ἄπειρος τούτου. δηλ. ἀπὸ τούτου. μόνος πάντων. δηλ. ἀπὸ πάντων. οἷος ἄλλων. δηλ. ἀπ' ἄλλων. τὸ μόνον ὄνομα . . . ἐφ' ἃ λεγόμενον μέσην ἔχει πάντως τὴν ἀπὸ πρόθεσιν, ἢ παροῦσαν, ἢ συνυπακουομένην, οἷον μόνος πάντων, ἀντὶ τοῦ ἀπὸ πάντων. καὶ οἷος ἀπ' ἄλλων παρὰ τῷ Θεολόγῳ Γρηγορίῳ ἐν τοῖς Ἔπεσι. κεῖται μόνος ἀπ' ἄλλων παρὰ Σοφοκλεῖ ἄνευ ἐλλείψεως. Σοφ. Φιλοκ. 182. ἀλλότριον ἐκείνου, ἀντὶ ἀπ' ἐκείνου, ἄλλος ἐκείνου ἀντὶ ἀπ' ἐκείνου. ἄλλο ἐπιστήμης, ἤτοι ἄλλο ἀπὸ ἐπιστήμης. Πλάτων ἐν Μένωνι.

Ὕστερος τινὸς, ἀντὶ ἀπό τινος.

Ἀλλὰ καὶ ἔντισιν ἐπιρρήμασι συνταασομένοις γενικῇ πτώσει ἡ αὐτὴ εὑρίσκεται Ἔλλειψις.

Οἷον πόῤῥω τῆς τέχνης. πόῤῥω τῆς πόλεως. πόῤῥω Διὸς καὶ κεραυνοῦ. ἐν οἷς ὑπακουστέον τὴν ἀπό. καὶ ἐγγὺς τῆς πόλεως, ἀντὶ τοῦ ἐγγὺς ἀπὸ τῆς πόλεως.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## Διά.

Ἐν τοῖς τῶν μερῶν τῦ χρόνε σημαντικοῖς ὀνόμασι ἐν γενικῇ πτώσει κειμένων συνυπακουστέον τὴν διά. οἷον, τῦ μηνὸς, χειμῶνος, καὶ ἦρος. τὸ πλῆρες. διὰ τῦ μηνὸς, διὰ τῦ χειμῶνος, καὶ ἦρος.

„ Πολλῦ γὰρ αὐτὲς ἐχ ἑώρακα χρόνε. ἀντὶ τῦ διὰ πολλοῦ χρόνου. Ἀρισοφ. Πλέτῳ.

Οὕτω ἡμέρας καὶ νυκτός. ἀντὶ τῦ διὰ ἡμέρας καὶ νυκτός. Λεκ. ἑ.

„ Καὶ πέντε ὅλων ἐτέων λαλέειν μηδὲν παρὰ Λεκιανῷ.

Καὶ ἐν ταῖς γενικαῖς τόπε, ἢ τιμῆς σημαντικαῖς. ἢ ἐνεργείας τινός.

Ἔρχονται πεδίοιο, ἀντὶ διὰ πεδίου. Εὐςάθ. Ἰλ. δ. 244.

„ Αἴτ' ἐπεὶ ἒν κάμον πολέος πεδίοιο θέεσαι.

„ Πολλῶν δὲ μόχθων ἦλθε χεῖρας εἰς ἐμᾶς, ἀντὶ τῦ διὰ πολλῶν. Εὐριπ. Ἀλκ. 1025.

„ Ἐγὼ πολλῦ κεφαλαίου τὴν πολιτείαν ταύτην ἐκτησάμην. Πράξ. ἑ.

„ Ὅτι τὴν δωρεὰν τῦ Θεῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι. τὸ πλῆρες. Αὐτόθι. κβ.

Προσέτι καὶ ἐν ταῖς Αἰτιατικαῖς πτώσεσιν ὑπακεςέα ἡ διά.

„ Ζηνὸς χόλον, ἀντὶ διὰ χόλον Ζηνὸς παρὰ Ἀπολλωνίῳ Ῥοδίῳ β.

„ Ἄγω τί δρῶν. λείπει ἐν τῷ τὶ ἡ διά, κατὰ τὸν Σχολιαςήν. Εὐριπ. Φοιν. 881.

„ Τί

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„ Τί με πειράζετε. ἀντὶ τῦ διὰ τί. Μάρκος ιβ'.

„ Τί ἄντις αἰτιῶτο φεύγοντα τὸ πῦρ. Λιβ. Ἐπις. 10.

„ Ταῦτ' ἄρα πάλαι τῶν ἡμερῶν παρεκλέπτετόν. ἀντὶ τῦ διὰ ταῦτα. Ἀρισοφ. Εἰρ.

„ Ταῦτ' ἄρα ἐπίεν. λείπει ἡ διά, ὡς ὁ Σχολιαςής. Ὁ αὐτός. Νεφ.

„ Ταῦτ' ἄρα καὶ ἐνεώρας μοι. Ξενοφ. Κυροπ. ά.

Αἰχ. „ Πράσσομες ἐχ ὡς λῶςα θυώηχε.

Θυ. Ταῦτ' ἄρα λεπτόν.

Καὶ ἐν τῷ ὅ, καὶ ὅπερ.

„ Ὅ καὶ μεταρίθμιος ἦεν πᾶσιν ἀρισήεσσιν. ἀντ τῦ διὸ. Ἀπολ. Ἀργοι. ά. 205.

„ Ἀποιμώζων ἐμὴν δέσποιναν, ὅμοι πᾶσίτ' οἰκέταισιν ἣν μήτηρ. Εὐριπ. Ἀλκ. 764.

„ Καταλελύσθαι συνέβαινε τὰς πατρίους τῶν Θεῶν τιμάς. ὅπερ οἱ τῆς χώρας ἐγγενεῖς ὑπέλαβον· Ἑκαταῖος Μιλήσιος περὶ Ἰυδαίων.

## Εἰς.

Λείπει αὕτη ἡ Πρόθεσις ἐν τοῖς Ῥήμασι τοῖς κίνησιν εἰς τόπον σημαίνουσι, καὶ συνεχέςερον παρὰ Ποιηταῖς, ἢ τοῖς καταλογάδην γράφυσι.

„ Ἀλλ' ὅτε Σύνιον ἱρὸν ἀφικόμεθ' ἄκρων Ἀθηνῶν. Ὀδ. γ. 278.

„ Μαλειάων ὄρος αἰπύ.

„ Ἷξε θέων. Αὐτόθι.

Ἀντὶ τῦ εἰς Σύνιον, εἰς ὄρος. Ἔρχεσθον κλισίην, ἀντὶ εἰς κλισίην. Ἰλ. ά. 322.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τὸ δ' ἱκάνεις, ἀντὶ εἰς τόδε τὸ χωρίον ἱκάνεις. Ἰλ. ξ. Ἵκετο ἔθνος ἑταίρων, ἀντὶ εἰς ἔθνος. Ἰλ. π. 114. Στέγας γυναικῶν σὺν τέκνοις ἅμ' ἑσπόμην, ἀντὶ εἰς στέγας Εὐριπ. Μηδ. 1143. ὡς ὁ Σχολιαστὴς, λείπει ἡ εἰς, ἵνα ᾖ εἰς στέγας.

Ἐλθόντας τὸ ἱερὸν, ἀντὶ εἰς τὸ ἱερόν. Παυσανίας ἐν Ἀρκαδικοῖς. Νιφοβόλα πεδία πολύσπορα τ' ἤλυθον. Ἀριστοφ. Ὄρν. Καιρὸν οὐδὲν ἦλθες, ἀντὶ εἰς καιρόν. Εὐριπ. Ἠλεκ. 486.

Καὶ ἐν τῷ εὐθὺ, καὶ τοῖς ὁμοίοις συνταττομένῳ μετὰ γενικῆς πτώσεως συνυπακουστέον τὴν πρόθεσιν ταύτην μετά τινος τῶν ἐφεξῆς ὀνομάτων. οἷον, χωρίον, τόπον, αὐλὰς, οἶκον.

„ Χώρει εὐθὺ τῆς σωτηρίας. ἀντὶ τοῦ εὐθὺ εἰς χωρίον τῆς σωτηρίας.

„ Εὐθὺ τοῦ Ἀρείου Πάγου, ἀντὶ τοῦ εὐθὺ εἰς τὸν τόπον τοῦ . . . Λουκ. Δισκατηγ.

„ Ἥδιον ἂν τὴν ἑτέραν ἦλθον τὴν ἄγουσαν εὐθὺ τοῦ ᾅδου. Αἰλ. Π. Ἱσ. θ'. 18.

Οὗ τὸ πλῆρες ἂν εἴη. Ἥδιον ἂν κατὰ τὴν ἑτέραν ὁδὸν ἦλθον τὴν ἄγουσαν εὐθὺ εἰς οἶκον τοῦ ᾅδου.

„ Εὐθὺ ἔρχεσθαι, ἢ ἀφικνεῖσθαι τοῦ Διός, ἀντὶ τοῦ εὐθὺ εἰς οἶκον Διὸς ἢ αὐλάς. ὅπερ κεῖται παρ' Ἀριστοφάνει Εἰρ. Ὀρθῶς χώρει Διὸς εἰς αὐλάς.

Ἀλλὰ καὶ ὅταν δύο Αἰτιατικαῖς συντάσσηται τὰ Ἐνεργητικὰ, ἢ Μέσα τῶν Ῥημάτων θατέρᾳ τούτων νοητέον τὴν εἰς πρόθεσιν. οἷον, αἰτιῶμαί σε ταῦτα.

Λέγω σε κακά. κακόν τι μ' ἐργάσεσθε. Ἀριστοφ. Πλουτ. ὁ Ζεύς με ταῦτα ἔδρασε. οἷα τοὺς ἄλλους δράσης

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σης. ἐν οἷς λείπει ἡ πρόθεσις ἐκ τῆς αἰτιατικῆς τȣ̃ προσώπȣ. τὸ γὰρ δρᾷν τὶ τινὰ, εἴη ἂν πλῆρες, δρᾷν τὶ εἰς τινά. ὡς παρὰ Σοφοκλεῖ. Εἰς ȣ̂ς τ' ἔδρων.

„ Ἔργον καλὸν εἰργάσατο εἰς ἐμέ. Ματθ. κϛ'. 10.

Πρὸς τȣ́τοις ὑπακȣςέον τὴν εἰς μετὰ τȣ̃ Προτακτικȣ̃ Ἄρθρȣ ἐν ȣ̓δετέρῳ γένει πρὸ τῶν Ἀπαρεμφάτων.

„ Καὶ ἀπέςειλεν αὐτȣ̀ς κηρύσσειν. ἤτοι εἰς τὸ κηρύσσειν. Λȣκᾶς θ'.

„ Ἦν Ἀριςέων Ἀθηναῖος, ᾧ Μιθριδάτης πρέσβεύειν εἰς τὰς πόλεις τὰς Ἑλληνίδας ἐχρῆτο. ἀντὶ τοῦ, εἰς τὸ πρεσβεύειν.

„ Νῦν μὲν γὰρ ἰδεῖν. λείπει εἰς τὸ ἰδεῖν κατὰ τὸν Σχολιαςήν. Ἀρις. Νεφ.

„ Ἔτι καὶ ἐν ἄλλαις τισὶ αἰτιατικαῖς λείπει ἡ πρόθεσις. οἷον τί; ἀντὶ τȣ̃ εἰς τί; τὶ χρὴ, ἀντὶ τοῦ εἰς τὶ χρή. ὡς παρὰ Μαξίμῳ Τυρίῳ κά. Ἐς τὶ χρὴ λέγειν. τέλος, ἀντὶ τȣ̃ εἰς τέλος παρὰ Ξενοφῶντι καὶ ἄλλοις. πολλάκις πρὸ τȣ̃ χάριν, οἷον ἐκείνȣ, ἢ ȣ̃ χάριν, ἀντὶ εἰς ἐκείνȣ χάριν, εἰς ȣ̃ χάριν.

„ Ἔρεσσ' ἔρεσσε, καὶ σέναζ' ἐμὴν χάριν. δηλ. εἰς ἐμὴν χάριν. Αἰσχύλος Περσ.

„ Ἀλλ' ἑψόμεθα τὴν σὴν χάριν. ἔνθα ὁ Σχολιαςής. λείπει ἡ εἰς πρόθεσις, ἵν' ᾖ εἰς τὴν σὴν χάριν. Ἀριςοφ. Ἀχαρ.

„ Ἐπειδὴ ξυνήκετε ἐμὴν χάριν. Θεμ. δ'.

„ Τȣ̃τον ȣ̓δὲ τὴν ἀρχὴν προσίεμαι, ἤτοι εἰς τὴν ἀρχήν. Παυσανίας ἐν Λακωνικοῖς.

„ Ἐκείνη τε ἐγγὺς ȣ̓̃σα τὰ πλεῖςου ἄξια ἐχρῶντο. ἀντὶ τȣ̃ εἰς τὰ πλεῖςȣ ἄξια. Θȣκ. β'.

„ Ἀ

„ Ἅ γὰρ πόλιν ὕμνησα ὁ αὐτός. ἂν εἰς τὴν πόλιν ὕμνησα ὡς ὁ Σχολιαστής.

„ Τίς ἂν τάδε γηθήσειε. Ἰλ. ά. κατ᾽ ἔλλειψιν, παρασημειοῦται ὁ Εὐστάθιος, ἔφησε προθέσεως, οἷον τίς ἂν εἰς τάδε, ἢ κατὰ τάδε γηθήσειε.

„ Ἦν τοῦτο νικηθῇς ἐμοῦ, Ἀριστοφάνης ἐν Νεφέλαις. λείπει ἡ εἰς φησὶν ὁ Σχολ. ἵνα ᾖ εἰς τοῦτο. δύο προθέσεων Ἐλλείψεις. ἀντὶ τοῦ εἰς τοῦτο νικηθῇς ὑπ᾽ ἐμοῦ. ὁ αὐτὸς ἐν Ἱππ. „ Διαπριθείην, διατμηθείην τε λέπαδνα. λείπει δὲ ἡ εἰς, ἵν᾽ ᾖ εἰς λέπαδνα. ὡς ὁ Σχολιαστής.

# Ἐκ ἢ Ἐξ.

Καὶ τὴν ἐκ ὑπακουστέον ὡς ἐν πολλοῖς λείπουσαν. ὃ ἀγνοήσαντες πολλοὶ Γραμματικοὶ τὰς πτώσεις, ἃς ἔδει λέγειν ἐλλειπτικὰς τῆς ἐκ προθέσεως συντακτικὰς καλοῦσι τῶν ῥημάτων.

Γέμω, Γεμίζω. Αὐτίκα γὰρ ἐν τῷ γεμίσατε τὰς ὑδρίας ὕδατος. Ἰω. β΄. τὸ ὕδατος φασὶν ἐκεῖνοι συντακτικὴν τοῦ γεμίζω ῥήματος, ἐλλειπτικὴν οὖσαν τῆς ἐκ προθέσεως, ἔστι γὰρ τὸ πλῆρες τῆς λέξεως, γεμίσατε τὰς ὑδρίας ἐξ ὕδατος.

Πλήθω. „ Ἐπλήσθη ὁ γάμος ἀνακειμένων. ἀντὶ τοῦ ἐξ ἀνακειμένων. Ματθ. κβ΄. Ὅτι δὲ ὑπακουστέα ἐν τοῖς τοιούτοις ἡ πρόθεσις δῆλον ἐκ τοῦ ἐν ἄλλοις ταύτην προσκεῖσθαι.

„ Ἔξω-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σης. ἐν οἷς λείπει ἡ πρόθεσις ἐκ τῆς αἰτιατικῆς τοῦ προσώπου. τὸ γὰρ δρᾷν τὶ τινὰ, εἴη ἂν πλήρως, δρᾷν τὶ εἰς τινά. ὡς παρὰ Σοφοκλεῖ. Εἰς οὓς τ' ἔδρων.

„ Ἔργον καλὸν εἰργάσατο εἰς ἐμέ. Ματθ. κς΄. 10.

Πρὸς τούτοις ὑπακουστέον τὴν εἰς μετὰ τοῦ Προτακτικοῦ Ἄρθρου ἐν οὐδετέρῳ γένει πρὸ τῶν Ἀπαρεμφάτων.

„ Καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν. ἤτοι εἰς τὸ κηρύσσειν. Λουκᾶς θ΄.

„ Ἦν Ἀριστέων Ἀθηναῖος, ᾧ Μιθριδάτης πρεσβεύειν εἰς τὰς πόλεις τὰς Ἑλληνίδας ἐχρῆτο. ἀντὶ τοῦ, εἰς τὸ πρεσβεύειν.

„ Νῦν μὲν γὰρ ἰδεῖν. λείπει εἰς τὸ ἰδεῖν κατὰ τὸν Σχολιαστήν. Ἀριστ. Νεφ.

„ Ἔτι καὶ ἐν ἄλλαις τισὶ αἰτιατικαῖς λείπει ἡ πρόθεσις. οἷον τί; ἀντὶ τοῦ εἰς τί; τὶ χρὴ, ἀντὶ τοῦ εἰς τί χρή. ὡς παρὰ Μαξίμῳ Τυρίῳ κά. Ἐς τί χρὴ λέγειν. τέλος, ἀντὶ τοῦ εἰς τέλος παρὰ Ξενοφῶντι καὶ ἄλλοις. πολλάκις πρὸ τοῦ χάριν, οἷον ἐκείνου, ἢ οὗ χάριν, ἀντὶ εἰς ἐκείνου χάριν, εἰς οὗ χάριν.

„ Ἔρεασ' ἔρεασε, καὶ στέναζ' ἐμὴν χάριν. δηλ. εἰς ἐμὴν χάριν. Αἰσχύλος Περσ.

„ Ἀλλ' ἑψόμεθα τὴν σὴν χάριν. ἔνθα ὁ Σχολιαστής. λείπει ἡ εἰς πρόθεσις, ἵν' ᾖ εἰς τὴν σὴν χάριν. Ἀριστοφ. Ἀχαρ.

„ Ἐπειδὴ ξυνήκετε ἐμὴν χάριν. Θεμ. δ΄.

„ Τοῦτον οὐδὲ τὴν ἀρχὴν προσίεμαι, ἤτοι εἰς τὴν ἀρχήν. Παυσανίας ἐν Λακωνικοῖς.

„ Ἐκείνῃ τε ἐγγὺς οὔσῃ τὰ πλείστου ἄξια ἐχρῶντο. ἀντὶ τοῦ εἰς τὰ πλείστου ἄξια. Θουκ. β΄.

„ Α

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„ Α῝ γὰρ πόλιν ὕμνησα ὁ αὐτός. ἂν εἰς τὴν πόλιν ὕμνησα ὡς ὁ Σχολιαστής.

„ Τὶς ἂν τάδε γηθήσειε. Ἰλ. α. κατ᾽ ἔλλειψιν, παρασημειοῦται ὁ Εὐστάθιος, ἔφησε προθέσεως, οἷον τὶς ἂν εἰς τάδε, ἢ κατὰ τάδε γηθήσειε.

„ Ἣν τοῦτο νικηθῇς ἐμοῦ, Ἀριστοφάνης ἐν Νεφέλαις. λείπει ἡ εἰς φησὶν ὁ Σχολ. ἵνα ᾖ εἰς τοῦτο. δύο προθέσεων Ἐλλείψεις. ἀντὶ τοῦ εἰς τοῦτο νικηθῇς ὑπ᾽ ἐμοῦ. ὁ αὐτὸς ἐν Ἱππ. „ Διαπριθείην, διατμηθείην τε λέπαδνα. λείπει δὲ ἡ εἰς, ἵν᾽ ᾖ εἰς λέπαδνα. ὡς ὁ Σχολιαστής.

## Ἐκ ἢ Ἐξ.

Καὶ τὴν ἐκ ὑπακουστέον ὡς ἐν πολλοῖς λείπουσαν. ὃ ἀγνοήσαντες πολλοὶ Γραμματικοὶ τὰς πτώσεις, ἃς ἔδει λέγειν ἐλλειπτικὰς τῆς ἐκ προθέσεως συντακτικὰς καλοῦσι τῶν ῥημάτων.

Γέμω, Γεμίζω. Αὐτίκα γὰρ ἐν τῷ γεμίσατε τὰς ὑδρίας ὕδατος. Ἰω. β. τὸ ὕδατος φασὶν ἐκεῖνοι συντακτικὴν τοῦ γεμίζω ῥήματος, ἐλλειπτικὴν οὖσαν τῆς ἐκ προθέσεως, ἔστι γὰρ τὸ πλῆρες τῆς λέξεως, γεμίσατε τὰς ὑδρίας ἐξ ὕδατος.

Πλήθω. „ Ἐπλήθη ὁ γάμος ἀνακειμένων. ἀντὶ τοῦ ἐξ ἀνακειμένων. Ματθ. κβ. Ὅτι δὲ ὑπακουστέα ἐν τοῖς τοιούτοις ἡ πρόθεσις δῆλον ἐκ τοῦ ἐν ἄλλοις ταύτην προσκεῖσθαι.

„ Ἔξω-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„ Ἔξωθεν δὲ γέμουσιν ἐξ ἁρπαγῆς καὶ ἀδικίας. Ὁ αὐτὸς κγ΄. 25.

„ Ἡ δὲ οἰκία ἐπληρώθη ἐκ τῆς ὀσμῆς τοῦ μύρου. Ἰωβ ιβ΄. 4.

„ Καὶ εἴληφεν ὁ ἄγγελος τὸν Λιβανωτὸν, καὶ ἐγέμισεν αὐτὸν ἐκ τοῦ πυρὸς τοῦ θυσιαστηρίου. Ἀποκαλ. ἡ. 5.

„ Ἐκ δ᾽ ἐπίμπλαμεν δρόσου κρατῆρας, βιβλίνου τε πώματος. Εὐριπ. Ἴον.

Ἐσθίω πίνω. Ἐσθίειν κρεῶν, πίνειν ὕδατος. ἀντὶ τοῦ ἐκ κρεῶν ἐξ ὕδατος.

Λαμβάνω. „ Τοῦ σκέλους λαβὼν ἡμᾶς τις, ἀντὶ ἐκ τοῦ σκέλους Ἀριστοφ. Λυσις.

„ Κόρυθος λαβὼν ἱπποδασείης. ἐκ Κόρυθος. Ἰλ. γ΄.

„ Ἵνα ἐπιλάβωνται αὐτοῦ λόγου. ἐκ λόγου. Λουκ. κ΄.

„ Τὸ πλῆρες παρὰ Λουκιανῷ. λαμβάνεταί μου ἐκ τῆς οὐρᾶς. Λουκ. ἢ Ὄνος.

Κρατῶ. „ Ὁ δὲ Ἰησοῦς κρατήσας αὐτὸν τῆς χειρός. ἀντὶ ἐκ τῆς χειρός. Μάρκος θ΄.

Ἕλκω. „ Ἕλκει σε ῥινὸς, ἀντὶ ἐκ τῆς ῥινός.

„ Λύκον τῶν ὤτων κρατῶ.

Βάλλω. „ Ἐνέβαλον τῶν ἱερῶν χρημάτων, ἀντὶ τοῦ τὶ ἐκ τῶν ἱερῶν. Αἰλ. Ποικ. Ἱστορ. ια.

„ Καὶ τοῖς δὲ τοῖς φίλοις τούτου τοῦ ὀλίγου ἀξίου γέλωτος ἐπιδαψιλεύσῃ ἀντὶ τοῦ τὶ ἐκ τούτου. Ξενοφ. Κυροπ.

Ἀκούω. Τὴν ἐπαγγελίαν τοῦ πατρὸς ἣν ἠκούσατέ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σατέ μου. ἤτοι ἐξ ἐμοῦ. Πράξ. ά. ταῦτα δὲ Μίδου ἤκουσα τοῦ οἰκέτου, ἤτοι ἐκ τοῦ οἰκέτου. Λουκ. Ἑρμότ.

Τὸ πᾶν ἤκȣσε τῶν παρόντων. Ἀποκυριτ.

Ἔχομαι. „ Πολλῷ μᾶλλον ἐξομεθάσιον. Ἀρισοφ. Πλ.

„ Ἐχόμενα σωτηρίας. πρὸς Ἑβρ. ς'.

„ Κατεχόμενος τῶν κεράτων, ἀντὶ τȣ̃ ἐκ τῶν κεράτων. Γεν. κβ'.

Ἔτι ὑπακȣςέον ταύτην τὴν πρόθεσιν, ϗ ἐν ταῖς ὕλης σημαντικαῖς λεγομέναις γενικαῖς. Οἷον πεποίηται λίθȣ, ἤτοι ἐκ λίθȣ.

„ Σιδήρȣ πεποιημένος. ἐκ σιδήρου. Λȣκ. Φιλοψ.

„ Σελίνȣ σέφανος πένθιμος ἐςί. ἐκ σελίνȣ. Ἀνακρέων. ἐν ταρσοῖς καλάμȣ. ἐκ καλάμȣ. Θȣκυδίδης.

Τὸ πλῆρες παρὰ Λȣκιανῷ Ἑρμοτ. ϗ ὁ μὲν ἐκ χαλκȣ̃, ὁ δὲ ἐκ χρυσοῦ. τὰς τριήρεις ἐκ κέδρȣ ποιȣ̃σι. Θεόφρασος. καὶ ἐν τῷ δυοῖν θάτερον. ἀντὶ τοῦ ἐκ δυοῖν.

Οὐδεὶς ἀνθρώπων, ἀντὶ τȣ̃ ἐξ ἀνθρώπων.

Τῶν ἀνδρῶν οἱ καλοὶ καὶ ἀγαθοί. ἀντὶ τȣ̃ ἐκ τῶν ἀνδρῶν.

„ Οἱ εὖ φρονȣ̃ντες τῶν ἀνθρώπων. ἀντὶ ἐκ τῶν ἀνθρώπων. Ἰσοκρ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καὶ ἐν τοῖς Ὑπερθετικοῖς τῶν ὀνομάτων. τιμιώτατος πάντων, ἤτοι ἐκ πάντων.

Τὸ δὲ πλῆρες παρὰ Λυκιανῷ ἐν Γαλατίᾳ.

„ Ἐγὼ ἐξ ἁπασῶν ἡ καλλίστη ἔδοξα.

# Ἐν.

Τὴν ἐν ὑπακουστέον ἐν ταῖς σημαντικαῖς τόπου δοτικαῖς. Οἷον αἰθέρι ναίων, ἀντὶ τοῦ ἐν αἰθέρι, παρ' Ἡσιόδῳ. δόμῳ, ἀντὶ τοῦ ἐν δόμῳ. κύκλῳ, ἀντὶ τοῦ ἐν κύκλῳ.

„ Ἀπελθόντες εἰς τὰς κύκλῳ κώμας. Λουκᾶς θ'. 12.

Ἀντὶ τοῦ ἀπελθόντες εἰς τὰς ἐν κύκλῳ οὔσας ἢ κειμένας κώμας.

„ . . . . Οἰράμιν ὦκα.

Θήσουσι Λυκίης εὐρείης πίονι δήμῳ. ἀντὶ τοῦ ἐν πίονι δήμῳ. Ἰλ. π'.

Καὶ μετ' ὀλίγα τὸ αὐτὸ ἀνελλιπῶς.

. . . . Οἰράμιν ὦκα, κάτθεσαν ἐν Λυκίης εὐρείης πίονι δήμῳ. οὕτω καὶ τὸ Μαραθῶνι, Καρχηδῶνι, Λακεδαίμονι κατ' ἔλλειψιν τῆς ἐν.

„ Εἶτα μαραθῶνι μὲν ὅτ' ἦμεν. Ἀριστοφ. Ἀχαρν. Ἔνθα, κατὰ τὸν Σχολιαστὴν, „ λείπει ἡ ἐν, οἷον ἐν Μαραθῶνι.

„ Ὡσαύτως λήψῃ καὶ τὸ πυθοῖ, καὶ πειραιοῖ. ἢ πυθῶνι, καὶ πειραιοῖ. οὐ γάρ εἰσιν ἐπιρρήματα ὡς ἔνιοι τῶν Γραμματικῶν ὑπέλαβον. ἀλλὰ Δοτικαὶ πτω-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πτώσεις ἀχρήστων Ὀνομάτων, πυθῶ, καὶ πειραιῶ, καὶ κρᾶσιν ὡς τὸ λητοῖ καὶ αἰδοῖ, κατ᾽ ἔλλειψιν τῆς ἐν. Ταῦτ᾽ ἄρα οὐκ ἂν ἁμάρτοι τις εἰπὼν ἐν πυθοῖ, ἐν πειραιοῖ. ἢ ἐν πυθῶνι, ἐν πειραιεῖ.

„ Οὐδ᾽ ὅσα λάϊνος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει,
„ Φοίβου Ἀπόλλωνος πυθοῖ ἐνὶ πετρηέσσῃ. Ἰλ. ά. 405.

„ Πυθοῖ ἐν ἠγαθέῃ. Ὀδυσ. Ξ.

Ὁ δὲ Ἀριστοφάνης τὸ ἐν Πυθῶνι ἐχρήσατο, ἀντὶ τοῦ ἐν πυθοῖ.

„ Σᾶς ἁπτόμενος φαρέτρας
„ Πυθῶνι ἐν.

„ Καὶ τὸ Θήβῃσι, Ἀθήνῃσι, καὶ τὰ παραπλήσια τούτοις οὐκ ἂν εἶεν ἐπιῤῥήματα· ἀλλὰ δοτικαὶ πτώσεις Ἰωνικῶς ἢ Ποιητικῶς ἐσχηματισμέναι, ἀντὶ τοῦ Θήβαις Ἀθήναις, ὅπερ σαφέστερον ποιήσει ὁ Ποιητὴς Ἡσίοδος ἀοίδῃσιν εἰπὼν, ἀντὶ τοῦ ἀοίδαις. Ἔργα καὶ... Καὶ λείπει ἡ ἐν ἵν᾽ ᾖ τὸ πλῆρες ἐν Θήβῃσι ἐν Ἀθήνῃσι προσκειμένης τῆς ἐν. οὕτω νοητέον καὶ τὸ τοῦ Πλουτάρχου. „ Καὶ τοὺς μὲν Θήβῃσι καὶ τοὺς Ἤλιδε φευκτέον ἔρωτας, ἤτοι τοὺς ἐν Θήβῃσι καὶ ἐν Ἤλιδι. Ἅπερ εἰ οὐκ ἠγνόουν οἱ κατοφρυούμενοι Γραμματικοὶ, καὶ τῶν ἰδίων προλήψεων ἀπρὶξ ἐχόμενοι, οὐκ ἂν ἔτταττον τὰς τοιαύτας πτώσεις ἐν τοῖς Ἐπιῤῥήμασι.

Β΄. Ἐν ταῖς σημαντικαῖς χρόνου.

Οἷον τῇ αὐτῇ ἡμέρᾳ, ὥρᾳ τρίτῃ, τῷ μηνὶ τῷ πέμπτῳ.

„ Ἐν δὲ τῷ μηνὶ τῷ ἕκτῳ πλῆρες. Λουκ. ά. 26.

Τίς δὲ οὐκ οἶδεν, ὅτι τὸ πρωῒ αὐτοὶ ἐν τοῖς Ἐπιρ-

 πιρ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πιῤῥήμασι τάττουσιν, οὐκ ὂν ἐπίῤῥημα, ἀλλὰ πτῶσις δοτικὴ τοῦ πρωῒς ἀχρήστου ὀνόματος, ἐν ᾧ λείπει ἡ φωνὴ ὥρα μετὰ τῆς ἐν προθέσεως. ἔστι δὲ τὸ πλῆρες ἐν ὥρᾳ πρωΐ. τοῦτο δὲ καὶ πρῷ ἀττικῶς λέγεται ἐκ τοῦ πρωῒ γενόμενον ὡς ἔχον τὸ ι ὑπογεγραμμένον, κατὰ τὸν τοῦ Ἀριστοφάνους Σχολιαστήν.

„ Ἀποκάλυψις Μυστηρίων χρόνοις αἰωνίοις σεσιγημένων. Π. πρὸς Ῥωμ. ιϛ΄. 25.

„ Τῇ ἐσχάτῃ ἡμέρᾳ ἐλλειπτικῶς, καὶ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ ἀνελλειπῶς. Ἰωάν. ϛ΄.

Γ΄. Ἐν ταῖς ὀργανικαῖς, ἢ ὀργάνου σημαντικαῖς.

Οἷον πατάσσειν ῥάβδῳ, ἀντὶ τοῦ ἐν ῥάβδῳ, πλήττεσθαι λίθῳ, βέλει, ἤτοι ἐν λίθῳ, ἐν βέλει. ὡς παρ' Εὐριπίδει „ ἐν βέλει πληγείς.

„ Μήποτε καταπατήσωσιν αὐτοὺς ἐν τοῖς ποσὶν αὐτῶν. Ματθ. ζ΄. 6.

Δ΄. Ἐν ταῖς αἰτίας, ἢ τρόπου σημαντικαῖς.

Οἷον νοσεῖν νόσῳ, φρενίτιδι, ἀντὶ τοῦ ἐν νόσῳ ἐν φρενίτιδι, διδάσκει ἡμᾶς τοῦτο ὁ τοῦ Ἀριστοφάνους Σχολιαστὴς ἐν Νεφέλαις.

„ . . . Εἰ μὴ λημᾶς κολοκύνθαις. λείπει λέγει ἡ ἐν, ἵν' ᾖ ἐν κολοκύνθαις, ὡς τὸ νοσεῖν ἐν φρενίτιδι.

Οὕτω καὶ τὸ ὑπερέχειν, ὑπερβάλλειν τινὶ πράγματι.

„ Ἀτεχνῶς ὑπερβάλλουσι τῇ μοχθηρίᾳ. Ἀριστοφ. Πλ.

Ἔνθα φησὶν ὁ Σχολιαστής. ὑπερβάλω συντάσσεται πρὸς μὲν τὸ πρόσωπον Αἰτιατικῇ, πρὸς δὲ τὸ πρᾶγμα Δοτικῇ, οἷον ὑπερβάλλω τὸν δεῖνα λόγῳ. ὡσανεὶ ἔλεγε ἐν λόγῳ, ἐν μοχθηρίᾳ. ὡς δηλοῖ τὸ

τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦ Ἀποστόλου πρὸς Ῥωμαίους ιη. ὑπακουστέον ἔτι τὴν ἐν καὶ ἐν τῷ πολλῷ, ἢ μακρῷ. οἷον πολλῷ ἐνδοξότερος, ἤτοι πολλῷ τῷ μέτρῳ ἐνδοξότερος.

„ Γνοίη δ' ἄν τις καὶ αὐτῷ τούτῳ. Θουκυδ. ς'. 55.

## Ἐπί.

Ἡ ἐπὶ λείπει ἐν ταῖς Γενικαῖς Πτώσεσι.

„ Ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου ὕδατος, ἀντὶ τοῦ ἐφ' ὕδατος. Λουκ. ις'. 24.

„ Ἐν ἀπολύτῳ Γενικῇ ἧς ἡ Μετοχὴ ἐστὶ χρόνου Ἐνεστῶτος.

Ἡρώδου βασιλεύοντος. ἀντὶ τοῦ ἐφ' Ἡρώδου βασιλεύοντος.

Τὸ πλῆρες εὕρηται παρὰ Πολυβίῳ δ'.

„ Ἐγένοντο διαλύσεις ἐπὶ Κώθωνος τοῦ Καλλιγείτονος ἱερομνημονοῦντος ἐν Βυζαντίῳ.

„ Ἐπὶ Ἡγησίου ἄρχοντος Ἀθήνησι. Ἀῤῥ. ζ'.

„ Ἐπὶ μὲν δὴ Εὐρυκράτους τοῦ Πολυδώρου βασιλεύοντος. Παυσ. Λακ.

„ Ἐπὶ γὰρ Λέοντος βασιλεύοντος, καὶ Ἡγησικλέους ἐν Σπάρτῃ. Ἡροδ. α'. καὶ β'. ἐπὶ τούτου βασιλεύοντος.

Ἐν χρόνου σημαντικῇ.

„ Τοσούτους ἀπέκτεινα μιᾶς ἡμέρας. Λουκιαν. Διαλ. Ἀλεξ. καὶ Ἀνίβ.

Καὶ δίχα ἐλλείψεως ὁ αὐτὸς ἐν τῷ αὐτῷ. ἐπὶ μιᾶς ἡμέρας.

„ Ἐν Γενικῇ τὴν εἰς τόπον δηλοῦσῃ κίνησιν.

„ Ἴωμεν ναὸς, ἤτοι ἐπὶ τῆς ναός. Σοφοκλ. Φιλοκ. ς'. 1178.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Λείπει ἡ ἐπὶ κατὰ τὸν Σχολιαστήν.

Εὑρίσκεται παρὰ Θουκιδίδῃ „ ἰέναι ἐπ᾽ οἴκου.

Πρὸ τοῦ ὁ, καὶ αὐτοῦ ἅπερ κοινότερον ἐπιρρηματικῶς λαμβάνονται.

Υ̓πακουστέον τὴν ἐπὶ μετά τινος οὐσιαστικοῦ, δὸς εἰπεῖν, τόπου, ἢ χωρίου.

Ὡς καὶ πρὸ τοῦ οἷ, ὅπερ ἐστὶ ᾧ προσγεγραμμένον ἔχον τὸ ι.

„ Ὁρῶν οἷ κινδύνου καθιστήκειν. Λουκ. Ψευδόμ.

Ἀντὶ τοῦ ὁρῶν ἐφ᾽ ᾧ τόπῳ κινδύνου καθιστήκειν.

Ἐν αἰτιατικῇ.

„ Στίβον κατ᾽ ἀνάγκαν ἕρποντος. Σοφοκ. Φιλοκ. 205.

Ἔξωθεν προσληπτέον τὴν ἐπὶ κατὰ τὸν Σχολιαστήν, ἵν᾽ ᾖ ἐπὶ στίβον πρὸ τοῦ ἄρχειν, καὶ μένειν ῥήματος καὶ οἰκεῖν.

„ Οὔτε ἄρχειν βουλόμενοι Ἀργείων. ἤτοι ἐπὶ Ἀργείων. Θεμιστοκ. Ἐπιστολὴ α.

„ Ἐτεοκλέα δὲ σκῆπτρ᾽ ἔχειν μένοντα γῆς. ἤτοι ἐπὶ γῆς Εὐριπ. Φοιν. 73.

„ Ὤκει γῆς τῆς Δρυοπίδος, ᾤκει γῆς τῆς Ἐφεσίας. Ἀντών. Λιμπερ.

Ἐν Δοτικῇ τόπου σημαντικῇ.

„ Εἴτ᾽ ἄρα Νείλου προχοαῖς, ὑδάτων σέοις ἀρύεσθε πρόχουσιν. Ἀριστοφ. Νεφ. 271.

Ἔνθα φησὶν ὁ Σχολιαστὴς, λείπει ἡ ἐπὶ, ἤγουν ἐπὶ ταῖς προχοαῖς τοῦ Νείλου.

Οὕτω καὶ θύραισι παρὰ τῷ αὐτῷ, ἀντὶ τοῦ ἐπὶ θύραισι.

Ἐν Δοτικῇ τῇ λεγομένῃ ὠνῆς σημαντικῇ.

Πρία-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πρίασθαι βουσὶ δώδεκα. ἀντὶ ἐπὶ βȣσί. παρὰ Λȣκιανῷ.

## Κατά.

Πάνυ συνήθης ἐςὶ Ποιηταῖς, ϗ τοῖς ἀττικίζουσιν ἡ Ἔλλειψις ταύτης τῆς Προθέσεως.

Α΄. Λείπει ἐν Γενικῇ πτώσει.

„ Αἰνείας δὲ πρῶτος ἀκόντισεν Ἰδομενῆος, ἀντὶ κατ' Ἰδομενῆος. Ἰλ. λ΄.

„ Κάδμȣ παλαιῶν ἄρεος ἐκ μνημάτων. Εὐριπ. Φοίν. 941.

Λείπει φησὶν ὁ Σχολιαςὴς ἡ Κατά. ὁ δὲ νȣ̃ς κατ' Κάδμου.

„ Ἀλλ' ἄγ' οἴςευσον Μενελάȣ Κυδαλίμοιο. Ἰλ. δ΄. 100.

Λείπει Πρόθεσις φησὶν ὁ Εὐςάθιος, τὸ γὰρ ἐντελὲς κατ' Μενελάȣ.

Β΄. Ἐν τῷ ἑξῆς. ὅπερ ὡς Ἐπίρρημα νομίζεται. ȣ̓κ ἔςι δέ· ἀλλὰ Γενικὴ πτῶσις τȣ̃ ἑξὴ Ὀνόματος, σημαίνοντος τάξιν ϗ σειρὰν, ἀχρήςȣ δὲ ὄντος, μόνον δὲ ἐν χρήσει ȣ̓σης τῆς Γενικῆς αὐτȣ̃. Ἡνίκα τοίνυν ἐπιρρηματικῶς ἐκφέρεται ὑπακȣςέον τὴν κατά. οἷον ἡ ἑξῆς ἡμέρα, τὸ ἐντελὲς ἐςὶ ἡ καθ' ἑξῆς ἡμέρα. Ὃ πρόδηλον καὶ ἐξ αὐτȣ̃ τȣ̃ καθεξῆς συνθέτȣ, ὅπερ οὐκ ἀνθ' ἑνὸς ληπτέον, ἀλλὰ σύνθετον ἐκ τῆς κατ' Προθέσεως, ϗ τῆς ἑξῆς Γενικῆς εἰς ἓν χωρησάντων καὶ ἀνθ' ἑνὸς διὰ τὴν σύνθεσιν λαμβανομένων. ὡς ϗ ἄλλ' ἄττα.

Οἷον διὰ παντὸς, παράπαν, παραχρῆμα, ἐπέκεινα,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κεινα, ἐξ ἀρχῆς, καταμόνας. κατενώπιον. τοῦτ' αὐτὸ συνίστησι καὶ τὸ ἐφεξῆς ὡς ἓν καὶ ἁπλοῦν λαμβανόμενον, σύνθετόν δὲ ὂν ἐκ τῆς ἐπὶ καὶ τῆς ἑξῆς.

Γ'. Ἐν αἰτιατικῇ πτώσει. Οἷον εἶδος κάλλιστος, ψυχὴν φιλανθρωπότατος.

Ἀντὶ τοῦ κατ' εἶδος, κατὰ ψυχήν. Ξεν. Κυροπ. ά.

Καλὸς τὸ σῶμα, ταχὺς τοὺς πόδας.

„ Πόδας ὠκὺς Ἀχιλλεύς.

„ Καθὼς ἐγὼ πάντα πᾶσιν ἀρέσκω. ἀντὶ κατὰ πάντα. πρὸς Κορ. ά. 33.

„ Ἁμάξας σίτου προέπεμπε τὴν ἐπὶ τὰ φρούρια ὁδὸν, ἀντὶ τοῦ κατὰ τὴν ὁδὸν τὴν ἐπὶ τὰ φρούρια φέρουσαν. Ξενοφ. Κυροπ. β'. 25.

„ Ὁδὸν θαλάσσης. ἀντὶ καθ' ὁδόν. Ματθ. δ'. 15.

„ Ἄλλος ἄλλον τρόπον, ἀντὶ κατ' ἄλλον. Ξεν. Κυροπ. β'.

„ Ὁ δεσπότης μου μαίνεται καινὸν τρόπον. Ἀριστοφ. Εἰρ. 627.

„ Ὡς Σόδομα καὶ Γόμορρα, καὶ αἱ περὶ αὐτὰς πόλεις, τὸν ὅμοιον τούτοις τρόπον ἐκπορνεύσασαι. Ἰούδα Ἐπιστολὴ έ. 7.

„ Οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε. Πράξ. ά. 11.

„ Ταῦτα ἐστὶν ἃ, ἀντὶ τοῦ καθ' ἅ. ἐγὼ Ἀλεξάνδρου ἀμείνων φημὶ εἶναι. παρὰ Λουκ.

„ Δίκην κέρκου, ἀντὶ κατὰ δίκην. Λουκ. ἢ Ὄνος.

„ Ἀκμὴν φιλοσοφεῖς, ἀντὶ τοῦ κατ' ἀκμήν. Ἰσοκ. πρὸς Δημόν.

„ Ἀκμὴν καὶ ὑμεῖς, ἀσύνετοί ἐστε. Ματθ. ιέ. 16.

„ Ἥ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„ Ἤδη τῆς εἰρήνης γεγονείας. τέτταρας μῆνας, ἀντὶ κατὰ τέτταρας. Δημοσθένης.

„ Ὦ γέρον, οὔτε ψεῦδος ἐμὰς ἄτας κατέλεξας. Ἰλ. ά.

„ Ὡς ὄναρ παρὰ τοῦ Θεοῦ ἀκούων, ἀντι τοῦ κατ' ὄναρ. Λουκ. Ψευδομ.

„ Ὄναρ αὐτῇ συνεγένετο. Αἰλ. Ποικ. Ἱστορ. ιβ'. 63.

„ Τὰ λοιπὰ, τὰ ἄλλα, τὰ δυνατὰ, τὰ ἐνόντα, λείπει ἡ κατά.

„ Δωρεὰν ὅπερ δοκεῖ ἐπίρρημα ἀπαιτεῖ τὴν κατὰ, ἵν' ᾖ κατὰ δωρεὰν, ἔστι γὰρ πτῶσις αἰτ. τῆς δωρεᾶς. ὁμοίως προῖκα κατὰ προῖκα. πᾶν γὰρ δῶρον προὶξ κατὰ τὸν Ἡσύχιον.

Πρὸς τούτοις ἔλλειψις ἐστὶ τῆς κατὰ ἐν τούτοις μακρὰν, πολὺ, ἢ πολλὸν, ἐνώπιον, ὅπερ Ὄνομα ἐστὶ, καὶ οὐκ Ἐπίρρημα, ὥς τινες οἴονται.

Ὁ γὰρ Ποιητὴς Ἰλ. Θ. καὶ ἐν πληθυντικῷ ἀριθμῷ ἐχρήσατο τῇ φωνῇ, εἰπὼν ἐνώπια. δηλοῖ δὲ καὶ τὸ σύνθετον, ἤτοι τὸ κατενώπιον, ἔλλειψις ἔχειν τῆς κατὰ τὸ ἐνώπιον.

„ Μακράν. δηλονότι κατὰ μακρὰν ὁδόν.

„ Πολλὸν ἐλαφρότερος, ἀντὶ τοῦ κατὰ πολλὸν ἐλαφρότερος παρ' Ἡσιόδῳ.

„ Πολλὸν ἀμείνω παρὰ τῷ αὐτῷ, ἐν οἷς νοητέον καὶ τὸ μέτρον, ἢ τὶ τοιοῦτον ἵν' ᾖ κατὰ πολλὸν μέτρον.

Ὑπακουστέον ἔτι τὴν κατὰ καὶ ἐν τοῖς ἐφεξῆς. ἀλγῶ τὴν κεφαλὴν, ἀντὶ τοῦ κατὰ τὴν κεφαλήν. ὠφελεῖσθαι τὶ, ζημιοῦσθαι τὶ, ἀντὶ τοῦ κατά τι. ζημιοῦσθαι τὴν ψυχήν. Ματθ. ιϛ'. 26. μαστιγοῦσθαι, τύπτεσθαι, ἐπιτρίβεσθαι, δέρεσθαι, πολλὰς, ὀλίγας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λίγας. δαρήσεται πολλὰς, δαρήσεται ὀλίγας, Λουκᾶς ιβ'. 27.

Αἰτοῦμαι... 

Ἀποστερῶ τὶ τινὰ, αἰτῶ τί τινα. οὐδένα τὶ αἰτήσας. Λουκ. Δημών. ἀντὶ οὐδένα κατά τι χρῆμα αἰτήσας.

## Μετά.

Ἡ μετὰ λείπει ἔν τισι Μετοχαῖς Οὐδετέρου γένους, ἃς διαλύσεις εἰς Ἀπαρέμφατον μετὰ τῆς Προθέσεως ταύτης. Οἷον ἀκουσθὲν, ἤτοι μετὰ τὸ ἀκουσθῆναι τοῦτο. προστεταγμένον δόξαν, ἤτοι μετὰ τὸ προστετάχθαι, μετὰ τὸ δόξαι, ἐξὸν, μετὰ τὸ ἐξεῖναι, μετὰ τὸ ἐνεῖναι, τὸ ἐνὸν, παρὸν μετὰ τὸ παρεῖναι.

„ Καὶ κηρυχθῆναι ἔδει ἐπὶ τῷ Ὀνόματι αὐτοῦ μετάνοιαν, καὶ ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ ἔθνη ἀρξάμενον ἀπὸ Ἱερουσαλήμ. Λουκ. κδ'. 47.

Τὸ ἀρξάμενον τοῦτο λογομαχίας αἴτιον γέγονε παρὰ τοῖς Γραμματικοῖς Σόλοικον, ἢ Σολοικοφανὴ καλούντων τὴν τούτου Σύνταξιν.

Ὅθεν τινὲς ἐπιδιορθοῦντες τὸν Σολοικισμὸν, ἀντὶ τοῦ ἀρξάμενον, τὸ ἀρξαμένου ἡμῶν ἀναγινώσκουσιν, ἕτεροι δὲ τὸ ἀρξαμένην συντάττοντες τὴν Αἰτιατικὴν ταύτην, τῇ Αἰτιατικῇ, ἄφεσιν. Μήποτε δὲ οὐδεμία χρεία μεταποιήσεως, ἢ διορθώσεως τῆς Εὐαγγελικῆς ῥήσεως. Αὕτη γὰρ καθ' αὑτὴν ἐντελῆ σώζει ἔννοιαν, εἰ τὸ ἀρξάμενον, ὡς ἀνωτέρω τὸ ἀκουσθὲν, καὶ προστεταγμένον ληφθείη, ἵνα ᾖ, μετὰ τὸ ἄρξασθαι ἀπὸ Ἱερουσαλήμ. Ὅπερ καὶ δοκιμώτερον

ἂν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἂν δόξειε, τοῖς μὴ προχείρως χεῖρα προτείνȣσιν εἰς διόρθωσιν τῶν ἃ αὐτοὶ ȣ̓ συνιᾶσι.

Καὶ ἐν τῷ ἀκολȣθεῖν, ἕπεσθαι, ὀπηδεῖ, ἡνίκα τὸ ὁμȣ̃ σημαίνει. οἷον ἀκολȣθεῖν μετά τινι, ἕπεσθαι μετά τινος. ὅρα τȣ̃ Ἡσιόδȣ Ἔργ. 230.

„ Οὐδέ ποτ' ἰθυδίκαισι μετ' ἀνδράσι λιμὸς ὀπηδεῖ. καὶ ἐλλιπῶς ὁ αὐτὸς 313.

„ Πλȣ́τῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ.

# Παρά.

Ἡ παρὰ παραλείπεται παρὰ τοῖς Ποιηταῖς.

„ . . . . Ἔντομα μήλων.

„ Νεῖαν ὀρινομένης ἁλὸς οἴδματι. Ἀπολλώνιος ά. 587.

Ἔνθα καὶ τὸν Σχολιαςὴν λείπει ἡ παρὰ πρόθεσις, ἵν' ᾖ, ἔθυον τῷ δόλοπι παρὰ τῷ οἴδματι τῆς θαλάσσης.

„ Οὐδὲν ἄξιον θανάτȣ ἐςὶ πεπραγμένον αὐτῷ, ἤτοι παρ' αὐτῷ. Λȣκ. κγ'.

Οὕτω καὶ τὸ, ἐμοί γε κριτῇ, ἤτοι παρ' ἐμοί γε κριτῇ.

# Περί.

Ἡ περὶ ὑπακουςέα ἐν ταῖς Γενικαῖς συντασσομέναις τοῖς μνήμης, ἢ λήθης σημαντικοῖς ῥήμασι. μέμνησο τῆς τύχης, ἀντὶ τȣ̃ περὶ τῆς τύχης, ἐπιλανθάνεσθαι βίης, ἀντὶ περὶ βίης. Πρόσκειται παρὰ Λȣκιανῷ. Ἐν τῷ Λȣ́κιος.

„ Κά-

„ Κἀγὼ περὶ τȣ̃ ποδὸς ϗ τȣ̃ τραύματος ἀναμνησθεὶς. ἐμνήσθη περὶ αὐτῶν. Δίων Κάσιος. ιβ'.

„ Οἰκονομίας ἐπεμνήσθη. ἐλλειπῶς Ξεν. Κυρ. ϗ μετ' ὀλίγα περὶ τȣ́τȣ ἐπεμνήσθη ἀνελλειπῶς.

„ Ἰωσὴφ τελευτῶν περὶ τῆς ἐξόδου τῶν ὑῶν Ἰσραὴλ ἐμνημόνευσε. πρὸς Ἑβρ. ιά.

Καὶ ἐν τῷ πλείονος ποιεῖσθαι, ὃ εὑρήσεις δίχα ἐλλείψεως παρὰ Πολυβίῳ. β'.

„ Οὐδὲν περὶ πλείονος ποιȣ́μενος τοῖς κατ' λόγον πράγμασι. ϗ παρ' Ἰσοκράτει.

„ Περὶ μηδενὸς ποιεῖσθαι τὰς διαβολάς.

„ Περὶ πλείονος ποιȣ̃ δόξαν καλὴν, ἢ πλȣ̃τον καταλιπεῖν.

Ἐν τῷ σπλαγχνίζεσθαι τινός.

„ Σπλαγχνισθεὶς ὁ Κύριος τȣ̃ δȣ́λȣ. Ματθ. ιή.

Προστίθησι δὲ τὴν Πρόθεσιν ἀλλαχόθι ὁ αὐτός.

„ Ἰδὼν τȣ̀ς ὄχλȣς ἐσπλαγχνίσθη περὶ αὐτῶν. θ'.

Ἐν τῷ ἀπορεῖν τινός. τίθησι δὲ τὴν περὶ Μάξιμος ὁ Τύριος κς'.

„ Ἀπορȣ̃ντες περὶ τȣ̃ δαιμονίȣ τȣ̃ Σωκράτȣς.

Ἐν τῷ καταφρονεῖν τινὸς, τȣτέςι ταπεινὰ φρονεῖν περί τινος.

Ἐν τῷ ἐπιμελεῖσθαι, ἢ φροντίζειν τινὸς, ἐπιθυμεῖν, ἱμείρεσθαι.

„ Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ, ἀντὶ περὶ βοῶν. ά. πρὸς Κορινθ. θ'.

„ Οὔ μοι μέλει γύγεω.

„ Τȣ̃ σάρδεων ἄνακτος. Ἀνακρ. Ὠδὴ ιέ.

Ἐν Γενικῇ Πτώσει συνταασομένῃ, τῷ ἀκȣ́ω, καὶ πυνθάνομαι Ῥήμασι.

„ Τȣ̃

„ Τῦ πράγματος ἀκηκοέν τι, ἤτοι περὶ τῦ πράγματος. Ἀρισοφ. ἐν Πλύτῳ.

„ Ὡς ἐπύθοντο τῆς πύλυ κατειλημμένης, ἀντὶ περὶ τῆς πύλου. Θυκ.

Δάκρυ δ᾽ ἀπὸ βλεφάρων, χαμάδις βάλε πατρὸς ἀκύσας, ἀντὶ περὶ πατρός. Ὀδ. έ. 115.

„ Εἰ σφῶϊν τάδε πάντα πυθοίατο μαρναμένοιϊν. Ἰλ. ά. 252.

„ Εἰπὲ δέ μοι πατρός τε καὶ υἷος ὃν κατέλειπον. Ὀδ. λ.

„ Ὦ δώματ᾽ εἰσακύσατ᾽ οἰδίπυ τάδε

„ Παίδων ὁμοίαις συμφοραῖς ὀλωλότων. λείπει ἡ περὶ κατὰ τὸν Σχολιασήν. Εὐριπ. Φοιν. 1350.

# Πρό.

Ὑπακυσέον ταύτην ἐν ταῖς Γενικαῖς ταῖς Συγκριτικαῖς, ἢ Ὑπερθετικαῖς, οἷον εὐδαιμονέςερος ὗτος ἐκείνυ, ὡς ἂν εἴποις. Οὗτος πρὸ ἐμῦ εὐδαιμονέςερος. τρυτάνης δικαιότερος. ἤτοι πρὸ τρυτάνης δικαιότερος.

„ Οἷσιν ἡ τυραννὶς πρὸ ἐλευθερίης ἦν ἀσπαςότερον. Ἡρόδοτος ά. 62.

Καὶ ἐν ταῖς μετὰ τῶν Θετικῶν Γενικαῖς.

„ Αὕτη ἡ ἀπογραφὴ πρώτη ἐγένετο ἡγεμονεύοντος, ἀντὶ τοῦ, πρὸ ἡγεμονεύοντος. πρόσκειται δὲ παρὰ τῷ Λυκᾷ θ᾽. 38.

„ Ἐθαύμασεν, ὅτι ὐ πρῶτον ἐβαπτίσθη πρὸ τῦ ἀρίςου.

Καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καὶ ἐν ταῖς Γενικαῖς ταῖς συντασσομέναις τῷ αἱροῦμαι, καὶ δέχομαι Ῥήματι.

„ Πλούσιον ἐραστὴν εἵλετο τοῦ χρηστοῦ πένητος, ἀντὶ πρὸ τοῦ χρηστοῦ.

„ Τυφλὸς δὲ τῶν ἄλλων ἁπάντων μᾶλλον ἄν. Αἰλ. Ποικ. Ἱστορ. γ΄. 10.

Δεξαίμην εἶναι. ἤτοι πρὸ τῶν ἄλλων ἁπάντων. Ξενοφ. ἐν Συμποσ.

„ Τίς κεν τῶνδε θάλασσαν ἔχειν, ἢ κύματ᾽ ἕλοιτο. Θεοκρ. Εἰδυλ. ιά.

## Πρός.

Ὑπακούεται ἐν τῷ τί. οἷον τί ποιήσεις τοῦτο, ἀντὶ τοῦ πρός τί;

Τί χρήσῃ τοῖς βιβλίοις, ἀντὶ τοῦ πρός τί;

Καὶ ἐν Αἰτιατικαῖς μετὰ Ῥημάτων σημαινόντων τὴν εἰς τόπον κίνησιν. ἢ μετὰ τοῦ ὡς συντασσομέναις.

„ Ἦλθον πατρὸς τάφον, ἤτοι πρὸς πατρὸς τάφον. Σοφοκλ. Ἠλεκ. 899.

„ Ὃν κεν ἵκωμαι, ἀντὶ πρὸς ὅν. Ἰλ. α.

„ Ὡς οἶκον, ὥς με, ἤτοι ὡς πρὸς οἶκον, ὡς πρὸς ἐμέ. γνοίη δ᾽ ἄν τις τοῦτο σαφῶς ἐκ τῆς ὑποκειμένης ῥήσεως τοῦ Ἡρωδιανοῦ. ἐρημότεροι ὡς πρὸς τὰς ἐννοίας οἱ ὑπὸ τὴν ἀνατολὴν ἄνθρωποι. Ἡροδ. γ΄.

„ Ὡς τοὺς δικαίους, καὶ σοφούς, καὶ κοσμίους βαδιοίμην. Ἀριστοφ. Πλοῦτ. καὶ ἐν τῷ ὅ,τι, οἷον χρῆσθέ μοι πρὸς ὅ,τι βούλεσθε. καὶ μετὰ τὸ ἄχρις καὶ μέχρις μετὰ Αἰτιατικῆς. μέχρις ἑσπέρας, ἀντὶ μέχρι πρὸς ὥραν ἑσπέρας, ἄχρι τῆς ἡμέρας, ἀντὶ τοῦ ἄ-

χρι πρὸς τὸν χρόνον τῆς ἡμέρας· ἄχρι θανάτου, ἀντὶ τοῦ ἄχρι πρὸς τὸ πάθημα τοῦ θανάτου, ἄχρι τοῦ οὐρανοῦ, ἀντὶ τοῦ ἄχρι πρὸς τὸ ὕψος τοῦ οὐρανοῦ. ἄχρι τοῦ νῦν, ἀντὶ τοῦ ἄχρι πρὸς χρόνον τοῦ νῦν καιροῦ, μέχρι τῆς πόλεως, ἀντὶ τοῦ μέχρι πρὸς τὸν τόπον τῆς πόλεως. ἄχρι τῆς Ἀσίας, ἄχρι πρὸς τὰ κλίματα τῆς Ἀσίας. καὶ μετὰ τὸ ἕως. ἕως ᾅδου, ἀντὶ ἕως πρὸς οἶκον, ἢ τόπον τοῦ ᾅδου.

## Σύν.

Τὴν σὺν ὑπακουστέον ἐν ταῖς Δοτικαῖς κινήσεως σημαντικαῖς.

„ Παριόντι τῷ ἐνιαυτῷ φαίνουσι πάλιν οἱ ἔφοροι φρουράν. ἀντὶ τοῦ σὺν παριόντι τῷ ἐνιαυτῷ παρὰ Ξενοφῶντι.

„ Οἷς γενομένοις, ἀντὶ τοῦ σὺν οἷς παρ' Ἰσοκράτει.

„ Θεῷ θέλοντι, ἀντὶ τοῦ σὺν Θεῷ.

Καὶ ἐν τῷ σπουδῇ, σιωπῇ, καὶ τοῖς ὁμοίοις, ἅτινα ἔνιοι τῶν Γραμματικῶν ἐν τοῖς Ἐπιρρήμασιν ἀριθμοῦσιν, οἷον σὺν σπουδῇ, σὺν σιωπῇ, σὺν δίκῃ.

„ Τρῶες μὲν κλαγγῇ τ' ἐνοπῇ ἴσαν ὄρνιθες ὥς. Ἰλ. γ. 2.

Καὶ ἐν τῷ ἅμα μετὰ Δοτικῆς. Οἷον ἅμα τῇ ἡμέρᾳ, ἤτοι ἅμα σὺν τῇ ἡμέρᾳ, τὸ γὰρ ἅμα Δοτικῇ οὐ συντάσσεται.

„ Ἀπέβαλον καὶ τὰς ἀρετὰς ὁμοῦ τοῖς ὀργάνοις. ἀντὶ τοῦ ἅμα σὺν τοῖς ὀργάνοις. Μάξιμος Τύριος. ιδ'.

„ Τὸ ἄγκιστρον τῷ δελέατι συγκατασπάσας, ἀντὶ σὺν τῷ δελέατι.

„ Τὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„ Τὰ χεῖλη αὐτοῖς τοῖς φιλήμασι.

„ Ἐξενήζω εἰς ταίναρον αὐτῇ σκευῇ καὶ κιθάρᾳ. παρὰ Λυκιανῷ.

„ Φέρων αὐτῇ δωρᾷ τὴν αἶγα. καὶ αὐτοῖς ἐρίοις τὰ πρόβατα.

„ Ἁρπασάμενός με αὐτῇ δέλτῳ.

„ Αὐταῖς ὠλέναις τὰ πτερά.

„ Διέτεμον εἰς δύο τὴν κεφαλὴν αὐτῷ κράνει. παρὰ τῷ αὐτῷ.

Εἶτ' ὠκεανῦ πατρὸς ἐν κήποις ἱερὸν χῶρον ἵςατε νύμφαις, ἀντὶ τῦ σὺν νύμφαις. κατὰ τὸν Σχολιαςήν. Ἀριςοφ. Νεφ. 271.

„ Αὐτοῖς ἵπποισι καὶ ἀνδράσι παρ' Ὁμήρῳ.

„ Αὐτοῖς τοῖς ἵπποις κατακρημνισθῆναι. Ξενοφ. Κυροπ.

„ Ἀπεχώρησαν τῷ ςρατῷ, πορευόμενος ὁπλίταις. Θυκυδ.

„ Καὶ ἀνέβη ὁ καπνὸς τῶν θυμιαμάτων ταῖς προσευχαῖς τῶν ἁγίων. Ἀποκαλ. ή.

Ἐν οἷς ἅπασι τοῖς ἀπηριθμημένοις λείπει ἡ σύν.

## Ὑπέρ.

Τὴν δὲ ὑπὲρ ἐν τῷ ἄνω.

„ Πολλὰ δὲ καρίωνος ἄνω. ἀντὶ τῦ ὑπὲρ Καρίωνος, κατὰ τὸν Σχολιαςήν. Καλλίμαχος Ὕμνῳ εἰς Δία.

„ Χ' ἅτερος τόκυ.

„ Ἐισχυράσασθαι φασίν. Ἀριςοφ. Νεφ. 125.

Ἔνθα φησὶν ὁ Σχολιαςὴς λείπει ἡ ὑπέρ.

Καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καὶ πρὸ ἄρθρȣ προτακτικȣ̃ κειμένȣ μετ' Ἀπαρεμφάτȣ.

„ Τȣ̃ δὲ μηδ' ἐντεῦθεν διαφεύγειν σκοπȣ̀ς καθίσης. Ξενοφ. Κυροπ.

„ Καὶ τȣ̃ μὴ δȣλεῦσαι τὴν πατρίδα, πολλὴν πρόνοιαν ἔθετο. Αἰλ. Ποικ. Ἱστορ. γ΄. 26.

„ Ὑπὲρ τȣ̃ μὴ ποιῆσαι τὴν πατρίδα ὑποχείριον Λυδοῖς, ὁ αὐτὸς ἄνευ ἐλλείψεως.

## Ὑπό.

„ Τὴν δὲ ὑπό. πρὸ Γενικῆς Παθητικῷ Ῥήματι συνταασσομένης.

„ Ἡττᾶσθαι τῶν συμφορῶν, ἤτοι ὑπὸ τῶν συμφορῶν. Ἰσοκρ.

„ Τί δῆτ' ἐρεῖς, ἢν τȣ̃το νικηθῇς ἐμȣ̃, ἀντὶ ὑπ' ἐμȣ̃. Ἀριστοφ. Νεφ. 185.

Δύο προθέσεων ἔλλειψις φησὶν ὁ Σχολιαστής, τὸ γὰρ ἐντελές. εἰς τȣ̃το νικηθῇς ὑπ' ἐμȣ̃.

„ Πρῆσαι δὲ πυρὸς δηΐοιο θύρετρα, ὑπὸ τȣ̃ πυρὸς τȣ̃ πολεμικȣ̃ κατὰ τὸν Ἡσύχιον. Ἰλ. β΄.

„ Σύδ' ἐν ᾅδα δὴ

„ Κεῖσαι σᾶς ἀλόχȣ σφαγείς, ἀντὶ τȣ̃ ὑπὸ σᾶς. Εὐριπ. Ἠλεκ.

„ Ἀπηγγέλη αὐτῷ λεγόντων, ἤτοι ὑπό τινων λεγόντων. Λȣκ. ή. 20.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΕΡΙ ΕΛΛΕΙΨΕΩΣ

## Ἐπιῤῥημάτων καὶ Συνδέσμων.

Εἰ καὶ οὐχ οὕτω πολλὴ ἡ Ἔλλειψις ἐν τοῖς Ἐπιῤῥήμασι καὶ τοῖς Συνδέσμοις, ὡς ἐν ταῖς Προθέσεσιν· ὅμως ῥητέον καὶ περὶ ταύτης βραχέα.

### Ἀλλά.

„ Καὶ περίλυπος γενόμενος ὁ βασιλεὺς (ἀλλὰ) διὰ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους, οὐκ ἠθέλησεν αὐτὴν ἀθετῆσαι. Μάρκος ς΄. 26.

### Ἂν, Ἐὰν, Εἰ.

„ Καὶ οὐδείς ποτε εὕροι τὸ κατ᾽ ἐμὲ οὐδὲν ἐλλειφθὲν, ἀντὶ τοῦ ποτὲ εὕροι ἂν παρὰ Δημοσθένει.

„ Δοῦλος ἐκλήθης, ἀντὶ τοῦ ἐὰν δοῦλος ἐκλήθης. α΄. πρὸς Κορ. ζ΄.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„ Περιτετμημένος τις ἐκλήθη, ἀντὶ τῦ ἐὰν περιτετμημένος.

„ Γυναικὶ δέδεσαι, ἀντὶ τῦ εἰ γυναικὶ δέδεσαι. Αὐτόθι.

## Εἴθε.

Τὸ εἴθε παραλείπεται Δωρικῶς. Οἱ γὰρ Δωριεῖς τὰ Εὐκτικὰ τῶν Ῥημάτων ἄνευ Συνδέσμυ τινὸς προφέρονται.

... ἀείδε βάλλοιμι δ' ἐπὶ σκοπόν. Ὀππιανός.

„ Κ' ούμ' ἔλαθ' οὐ τὸν ἐμὸν τὸν ἕνα γλυκύν.

Ὧ ποθόρημι. Θεοκρ. Εἰδύλ. ϛ'. 22.

„ .... Ἆς ἐπὶ σωρῷ.

Αὖθις ἐγὼ πράξαιμι μέγα πτύον. Ὁ αὐτὸς Εἰδ. ζ'. 154.

## Ἐκεῖ.

„ Ἦσαν δέ τινες ἐν Ἀντιοχείᾳ, κατὰ τὴν ὖσαν ἐκκλησίαν προφῆται καὶ διδάσκαλοι. τὸ ἐντελές, κατὰ τὴν ἐκεῖ ὖσαν ἐκκλησίαν.

## Εὖ.

„ Οἱ δ' ἀγαθοὶ τὸ μέγιςον ἐπαυρίσκυσι παθόντες, ἀντὶ τῦ εὖ παθόντες.

„ Μνῆμα δ' ἔχυσιν ἀγαθὸν καὶ χάριν
Ἐξοπίσω. Θεόγνις ρια.

„ Ἐπισκέψασθε ὖν ἄνδρας ἐξ ὑμῶν μαρτυρυμέ-

 νυς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νους ἑπτὰ, ἀντὶ τοῦ εὖ μαρτυρουμένους. Πράξ. ς′. 3.

„ Πιςὸς ὁ Θεὸς ὁ καλῶν ἡμᾶς, ὃς καὶ ποιήσει, ἤτοι εὖ ποιήσει. πρὸς Θεσ. έ. 25.

## Ἕως.

Ἐν τοῖς Ἀπαρεμφάτοις.

„ Ἀναμείναντες ἓν ἀπολῆξαι τὸ κλυδώνιον, ἀντὶ τοῦ ἕως τοῦ ἀπολῆξαι· Ἀλκύφρων ά. 10.

## Οὐ.

„ Οὐ πλέον τῆς πόλεως ςαδίους ἀπέχον ἑπτά. ἀντὶ τοῦ οὐ πλέον, ἢ ςαδίους ἑπτά. Παυσανίας, ἐν Ἀρκαδικοῖς.

„ Ἐλείπετο οὐδὲν ἔτι αὐτὴν φονεύεσθαι. Ὁ αὐτὸς Ἀχαϊκοῖς.

## Ἵνα.

Παραλείπεται ἐν τοῖς Ὑποτακτικοῖς Ῥήμασι.

„ Βούλει τράπωμαι δῆθ' ὁδοὺς ἄλλας τινάς, ἀντὶ τοῦ ἵνα τράπωμαι. Εὐριπ. Φοιν. 729.

Ἢ βούλει ἵνα διανοήσωμαι μεθόδους ἄλλας κατὰ τὸν Σχολιαςήν.

„ Ὅρα μηδενὶ εἴπῃς, ἀντὶ τοῦ ἵνα εἴπῃς μηδενί. Ματθ. ζ′.

„ Τί σοι θέλεις ποιήσω, ἀντὶ τοῦ τί θέλεις ἵνα ποιήσω σοι κ′.

Καί,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## Καί.

Εὑρίσκεται τούτου Ἔλλειψις οὐ μόνον μεταξὺ Ὀνομάτων, ἢ Ῥημάτων, ἀλλὰ καὶ μετὰ τὸν ἀλλὰ συμπλεκτικὸν Σύνδεσμον προηγουμένου τοῦ οὐ μόνον.

„ Οὐ μόνον μὲ, ὅτι χερείονες εἰσὶ πόδεσσι.

„ Θηρύτεραι τελέειν δολιχὸν δρόμον ἐν ξυλόχοισιν.

„ Ἀλλ᾽ ὅτ᾽ ἀλευέσθαι χρειὼ φιλοδέμνιον ἦτορ. ἀντὶ τοῦ ἀλλὰ καὶ ὅτ᾽. Ὀππιανὸς Κυνηγ. ά. 159.

## Καί περ.

Τοῦ δὲ καί περ, ὅταν ἕπηται τὸ ὅμως ὅπερ ἀναφέρεται οὐ μόνον εἰς τὸ καί περ, ἀλλὰ καὶ εἰς τὸ εἰ καί.

„ Ἀλγοῦσα ὅμως, ἀντὶ τοῦ καί περ ἀλγοῦσα. Αἰλ. Ποικ. Ἱστορ. ιβ΄. ά.

## Κακῶς.

Ἐν τῷ πάσχω Ῥήματι πολλάκις παραλείπεται.

„ Ὑποδέξονται γὰρ αὐτὸν ἀσμένως πάντες, καθάπερ τὸν ἰατρὸν οἱ πάσχοντες, ἤτοι οἱ κακῶς πάσχοντες. Κέβης ιή.

„ Παθὼν μὲν οὐδὲν πρὸς Ἀλεξάνδρου. ἤτοι οὐδὲν κακόν. Ἀῤῥια. ά.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# Μᾶλλον.

„ Λέγω ὑμῖν, ὅτι οὕτω χαρὰ ἔςαι ἐν τῷ ὐρανῷ, ἐπὶ ἐνὶ ἁμαρτολῷ

„ Μετανοῦντι, ἢ ἐπὶ ἐννενήκοντα δικαίοις, ἀντὶ τῦ μᾶλλον ἤ. Λυκ. ιέ.

„ Λυσιτελεῖ αὐτῷ, εἰ μύλος ὀνικὸς περίκειται περὶ τὸν τράχηλον αὐτῦ, καὶ ἔρριπται εἰς τὴν θάλασσαν. ἢ ἵνα σκανδαλίσῃ ἕνα. ἀντὶ τῦ λυσιτελεῖ μᾶλλον ἤ. Ματθ. ιή.

„ Λέγω ὑμῖν κατέβη ὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ, ἢ ἐκεῖνος. ἀντὶ τοῦ μᾶλλον ἢ ἐκεῖνος.

„ Ἀλλ' ἐν ἐκκλησίᾳ θέλω πέντε λόγυς διὰ τοῦ νόμυ λαλῆσαι ἵνα καὶ ἄλλυς κατηχήσω, ἢ μυρίους λόγυς ἐν γλώσσῃ, ἀντὶ τῦ θέλω μᾶλλον. πρὸς Κορινθίυς ά. ιδ'.

„ Λευκοὶ οἱ ὀδόντες αὐτῦ, ἢ γάλα. Γεν. μθ'.

„ Βϋλομ' ἐγὼ λαὸν σόον ἔμμεναι, ἢ ἀπολέσθαι. δηλ. βϋλομαι μᾶλλον. Ἰλ. ᾱ. 117.

„ Βϋλεο δ' εὐσεβέως ὀλίγοις σὺν χρήμασιν οἰκεῖν,

„ Ἢ πλυτεῖν ἀδίκως χρήματα πασάμενος. παρὰ Θεόγνιδι.

„ Τῇ δυνάμει πίσυνοι, ἢ τῇ γνώμῃ ἐπέρχονται, ἀντὶ τῦ τῇ δυνάμει μᾶλλον. Θυκ. ά.

„ Τοῖς ἁμαρτήμασι περιττεύει, ἢ ταῖς ἀρεταῖς λείπεται, παρὰ Λογγίνῳ, ἀντὶ τοῦ περιττεύει μᾶλλον,

Ἐνίο

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐνίοτε τὸ μᾶλλον παραλείπεται, μετὰ τοῦ ἤ.

„Ψυχρὸν, ὥστε λούσασθαι, ἀντὶ τοῦ ψυχρὸν μᾶλλον ἤ.

Τὸ δὲ ἐντελὲς παρὰ τῷ Ἀποστόλῳ ά. πρὸς Κορινθίους θ΄. 15.

„Καλὸν γάρ μοι μᾶλλον ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ.

## Μή.

Ὑπακουστέον ἐν ταῖς ἐρωτήσεσι.

„Τί ἐξήλθετε εἰς τὴν ἔρημον θεάσασθε, κάλαμον, ἄνθρωπον προφήτην; ἀντὶ τοῦ μὴ κάλαμον, καὶ τὰ ἑξῆς.

## Μόνον.

„Μηκέτι ὑδροπότει. ἀλλ' οἴνῳ ὀλίγῳ χρῶ. πρὸς Τιμοθ. ά. έ.

Ἀντὶ τοῦ μηκέτι μόνον ὑδροπότει.

„Ἐπὶ τὴν περιτομὴν (μόνον) ἢ καὶ ἐπὶ τὴν ἀκροβυστίαν. πρὸς Ῥωμ. δ΄.

„Οὐ τοῖς ἀπίστοις, (μόνον) ἀλλὰ καὶ τοῖς πιστεύουσι. πρὸς Κορ. ά. ιδ΄.

## Ὅμως.

Ὥσπερ, ὡς εἴρηται, τὸ καίπερ, καὶ τὸ εἰ καὶ πρὸ τοῦ ὅμως παραλείπεται· οὕτω καὶ τὸ ὅμως μετὰ τὸ καίπερ, ἢ εἰ καί.

„ Εἰ καὶ περιεσώθη, θάνατος ἡ ζημία ἦν αὐτῷ. Αἰλ. Ποικ. Ἱστορ. ιά. 37.

Ἀντὶ τοῦ, εἰ καὶ περιεσώθη, ὅμως θάνατος ἡ ζημία αὐτῷ ἦν.

## Ὅπως.

Μετὰ τὸ ὅρα, σκόπει, καὶ τὰ ὅμοια.

„ Ὅρα γάρ, φησί, ποιήσης πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει. πρὸς Ἑβραίους. ή. 5.

Ἀντὶ τοῦ ὅρα, ὅπως ποιήσης.

## Ὅτι.

„ Ἐὰν τοῦτον ἀπολύσης οὐκ εἶ φίλος τοῦ Καίσαρος. πᾶς ὁ βασιλέα ποιῶν ἑαυτόν, ἀντιλέγει τῷ Καίσαρι. ἀντὶ τοῦ ὅτι πᾶς. Ἰωάν. ιθ'.

„ Καὶ προσβολὰς ἐποιοῦντο, βουλόμενοι ἄλλως τε προσγενέσθαι σφίσι,

„ Καὶ ὅμηροι ἐκ τῆς Ἀρκαδίας ἦσαν αὐτόθι ὑπὸ Λακαιδεμονίων κείμενοι. Θουκ. έ. 61.

Εἴτις ἐνταῦθα ἀκριβῶς τὸν νοῦν ἐπιστήσειε, εἴσεται λείπειν τὸ ὅτι πρὸ τοῦ ἦσαν.

## Οὐ.

Τὸ οὐ ὑπακουστέον ἐν τῷ οὐχ ὅτι, μὴ ὅτι, οὐχ ὅπως, οὐχ οἷον.

„ Οὐχ ὅπως τῆς κοινῆς ἐλευθερίας μετέχομεν. ἀλλ' οὐδὲ δουλείας μετρίας ἠξιώθημεν τυχεῖν. ἀντὶ τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῦ ὐ μόνον τῆς ἐλευθερίας ὐ μετέχομεν. Ἰσοκράτης, Πλαταϊ.

„ Καὶ διὰ τῦτο, ὐχ ὅπως αὐτὸν ἐδέξατο, ἀλλὰ καὶ τὺς πεμφθέντας ὑπ' αὐτῦ συνέλαβε καὶ κατέδησεν, ἀντὶ τῦ ὐχ ὅπως αὐτὸν ὐκ ἐδέξατο ἀλλά... Δίων. Κάσιος λς'.

„ Φάλαγξ... Οὐχ οἷον ὠφελεῖν δύναιτ' ἂν τὺς φίλυς, ἀλλ' ὐδ' ἑαυτὴν σώζειν. ἀντὶ τῦ ὐκ ὠφελεῖν. παρὰ Πολυβίῳ.

„ Οὐχ ὅτι ἡμῶν τινὰ προσβλέποντες, ἀλλ' ὐδὲ ἀλλήλυς, ἀντὶ τῦ ὐ προσβλέποντες τινὰ ἡμῶν. παρὰ Ἀθηναίῳ.

## Οὕτω.

Πρὸ τῦ ὡς, καὶ ὥστε.

„ Ἐμίσει τὸν Σωκράτην ὥστε καί. ἀντὶ τῦ ὕτω ἐμίσει. παρὰ Ξενοφῶντι.

„ Διαφθαρῆναι τὰς ὄψεις, ὡς ἀμυδρὸν βλέπειν. ἀντὶ τῦ ὕτως διαφθαρῆναι. Αἰλ. Ποικ. Ἱστορ. ς'.

„ Ὡς ἐν ὐρανῷ καὶ ἐπὶ τῆς γῆς. ἀντὶ ὕτω καί. Ματθ. ς'.

„ Καθὼς ὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτὺς ὁ Θεός. ἀντὶ τῦ ὕτω παρέδωκε. πρὸς Ῥωμ. ά.

„ Καὶ ὡς ἔδοξεν αὐτοῖς, καὶ ἐποίυν ταῦτα. ἀντὶ τῦ ὕτω καὶ ἐποίυν ταῦτα. Θυκ. ή. ά.

Τότε.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## Τότε.

„ Ἐλεύσομαι δὲ ταχέως πρὸς ὑμᾶς καὶ γνώσομαι. ἀντὶ τοῦ τότε γνώσομαι. πρὸς Κορ. ά. δ'.

## Ὦ Σχετλιαστικόν.

„ Καὶ εἶπε πρὸς ἑαυτὸν τῆς τύχης, ἀντὶ ὦ τῆς τύχης. Ξενοφ. Κυρ. β'.

Οὕτω καὶ φεῦ τῆς τύχης.

„ Ὦ Ζεῦ τῆς λεπτότητος τῶν φρενῶν. Ἀριστοφ. Νεφ. 153.

## Ὥς.

Ἡ τοῦ ὡς Ἔλλειψις εὕρηται ἐν πολλοῖς.

„ Ὄτριχας οἰέτεας σταφύλῃ ἐπὶ νῶτον ἐΐσας. Ἰλ. β'.

Ἔνθα παρασημειοῦται ὁ Εὐστάθιος. Ἔχει δὲ ἔλλειψιν τοῦ ὡς παραβολικοῦ Ἐπιῤῥήματος, ὤφειλε γὰρ εἶναι ὡς σταφύλῃ.

„ Δαῖε οἱ ἐκ κόρυθός τε καὶ ἀσπίδος ἀκάματον πῦρ. Ἰλ. ε'.

Ἀντὶ τοῦ ὡς ἀκάματον πῦρ κατὰ τὸν Εὐστάθιον.

„ Τράγοι δ' ἀκρατιεῖσθε. Ἀριστοφ. Πλ.

Λείπει τὸ ὡς, ἵν' ᾖ ὡς τράγοι κατὰ τὸν Σχολιαστήν.

„ Σὺ δ' Ἀρίστυλλος ὑποχάσκων ἐρεῖς. Ἕπεσθε μητρὶ χοῖροι. ἀντὶ τοῦ ὡς Ἀρίστυλλος. ὁ αὐτός.

Καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καὶ τελευταῖον ἐν τῷ ἔλπομαι, ἀντὶ τοῦ ὡς ἔλπομαι.

Ἐν τῷ οἶμαι, ἀντὶ τοῦ ὡς οἶμαι.

Ἐν τῷ φασὶν, ἀντὶ τοῦ ὡς φασίν.

Ἐν τῷ συνελόντι εἰπεῖν, ἀντὶ τοῦ ὡς, ἢ ὥστε συνελόντι εἰπεῖν.

Ἐν τῷ ἑνὶ δὲ λόγῳ εἰπεῖν.

Πολλάκις δὲ καὶ πρόσκειται οἷον ὡς εἰπεῖν, ὡς ἔπος εἰπεῖν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΕΡΙ ἘΛΛΕΙΨΕΩΣ

## πλειόνων ἢ μιᾶς φωνῆς.

„ Ἀλλὰ πᾶσιν ἐπήρκει ἀφθόνως τῶν ἑαυτοῦ. παρὰ Ξενοφ. Ἀπομνη. α΄. 2.

Τὸ ἐντελὲς τὶ τῶν ἑαυτοῦ χρημάτων.

„ Οἶμαί γε τῶν νεωτέρων τὰς καρδίας πηδᾶν, ὅ,τι λέξει. Ἀριστοφ. Νεφ. 1393.

Λείπει. βουλομένων εἰδέναι, ἢ ἀκοῦσαι.

„ Πλήσσειν. ἤτοι τὴν γῆν ποσίν. παρὰ Καλλιμάχῳ Ὕμνῳ εἰς Ἄρτεμιν. 243.

„ Καὶ τῶν κριτῶν, εἰ μή τις ἑτέρωσε βλέπει, ἀντὶ τοῦ ἑτέρωσε, ἢ εἰς δίκην. Ἀριστοφ. Ἐκκλ. 1134.

„ Ἐν τῷ ἑκατοστῷ λείπει, τὸ μερὶς ἀρχαίου.

Ἡνίκα οἱ πάλαι τῶν Ἑλλήνων, εἰς ἄριστον, ἢ δεῖπνον, ἢ συμπόσιον ἐκαλοῦντο τοιούτῳ τῷ τρόπῳ τοῦ λέγειν ἐχρῶντο, κάλλιστα,

„ Ἐπαινῶ πάνυ καλῶς.

„ Αὐτῷ δὲ τῷ ἐπαινεῖν, ἀντὶ τοῦ παραιτεῖσθαι

νῦν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νῦν κέχρηται, καθάπερ ἐν τῇ συνηθείᾳ, καλῶς φαμὲν ἔχειν, καὶ χαίρειν κελεύομεν, ὅταν μὴ δεώμεθα, μηδὲ λαμβάνομεν. Πλούταρχος. Λαερτίου β΄.

„ Ἀλλ᾽ εἴσιθι.. Ξ. κάλλιςʼ ἐπαινῶ.

„ Ἀλλ᾽ εἴσιθι ἅμ᾽ ἐμοί. Ξ. πάνυ καλῶς. Ἀριςοφ. Βατρ. 510.

Ὅρα καὶ Στίχῳ 915. καὶ τὰ ἐκεῖσε Σχόλια. ἐν οἷς προφανὴς ἡ τῶν φωνῶν ἔλλειψις. ὡσανεὶ ἔλεγε, πάνυ καλῶς τὸ δεῖπνον ηὐτρέπισαι, ἀποδέχομαί σου τὴν φιλοφροσύνην, παραιτοῦμαι ἔμπης τοῦτο. ἐν τῷ δεκάτῃ σημαινούσῃ τὴν ἡμέραν τῆς κλήσεως, ὑπακουστέον τὸ ἡμερῶν ἀπὸ γενέσεως, ἵν᾽ ᾖ τὸ ὅλον. τῇ δεκάτῃ τῶν ἡμερῶν ἀπὸ γενέσεως. Οἱ γὰρ ἀρχαῖοι τῇ δεκάτῃ ἀπὸ γενέσεως ἐτίθουν τοῖς τικτομένοις τὰ ὀνόματα. Ὅρα τὸν Ἀριςοφ. ἐν Ὄρνεσι. 923. καὶ 494.

„ Ὅταν τὸ φοιτᾶν τὴν συνεχῆ σημαίνει πρός τι κίνησιν ὑπακουστέον τὸ εἰς Διδασκάλου οἶκον, ἢ διατριβήν.

. . . . . . Ἡ χύτρα δεῦρ᾽ ἔξιθι,

„ Νὴ δία μέλαινα γ᾽ οὐδ᾽ ἂν εἰς τὸ φάρμακον.

„ Ἔψουσ᾽ ἔτυχες, ὦ Λυσικράτης μελαίνεται. Ἀριςοφ. Ἐκκλ. 230.

Οὗ τὸ ἐντελές. νὴ δία μέλαινα εἶ ὦ χύτρα, ἥτις οὐκ ἂν εἴης μελάντερη, οὐδ᾽ εἰ τὸ φάρμακον ἔψουσ᾽ ἔτυχες...

„ Εἴς τε τὴν Πελοπόννησον ἔπρασσεν ὅπη ὠφέλειά τις γεννήσεται. Θουκ. ά. 65.

Ἀντὶ τοῦ, ἐς τε Πελοπόννησον ἄνδρας πέμπων ἔπρασσε.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„ Γέναι ἐπὶ θάνατον. ἀντὶ τῦ τὴν ἐπὶ θάνατον φέρεσαν ὁδόν.

„ Ὦ τῦ θαύματος, λόγῳ κρατεμένην φύσιν τὴν ῥέεσαν. Γρηγόριος περὶ Θεολογίας.

„ Ἀντὶ τῦ ὦ τῦ θαύματος, θαυμάζω ἱρῶν φύσιν....

## Ἔλλειψις πρὸ τῦ ἀλλὰ καί.

„ Ἐν Λυδίᾳ ἰδὼν φυτὸν εὐμέγεθες Πλατάνε, καὶ τὴν ἡμέραν ἐκείνην κατέμενεν, ἐδέν τι δεόμενος, καὶ ἐχρήσατο σαθμῷ τῇ ἐρημίᾳ τῇ περὶ τὴν πλάτανον. ἀλλὰ καὶ ἐξῆψεν αὐτῆς κόσμον πολυτελῆ. λείπει ἔνθα οὐ μόνον θεώμενος τὴν πλάτανον ἔχαιρε, ἀλλὰ καὶ ἐξῆψεν. Αἰλ. Ποικ. Ἱςορ. ιά. περὶ Ξέρξε.

„ Καὶ σὺν ὀλίγοις παμπόλλες μυριάδας κατηγωνίσατο. ἀλλὰ καὶ τὴν ἀρχὴν μείζονα ἐποίησε. Ὁ αὐτὸς δ'. 8.

Ἀντὶ τῦ ἐ μόνον παμπόλλες ....... ἀλλὰ καὶ τὴν ἀρχὴν....

„ Πτωχὸς δέ τις ἦν ὀνόματι Λάζαρος, ὃς ἐβέβλητο πρὸς τὸν πυλῶνα αὐτῦ ἡλκωμένος, καὶ ἐπιθυμῶν χορτασθῆναι ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῦ πλεσίε. ἀλλὰ καὶ οἱ κύνες ἐρχόμενοι ἀπέλειχον τὰ ἕλκη αὐτῦ. ἀντὶ τῦ ὃς ἐ μόνον ἐβέβλητο. Λεκ. ις'.

Ἐπὶ θανάτῳ ἢ εἰς θάνατον, ὑπακεςέον ἐν τῷ ἄγεσθαι, ἢ ἀπάγεσθαι.

„ Ἡρώδης δὲ ἐπιζητήσας αὐτὸν καὶ μὴ εὑρὼν, ἀνακρί-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νακρίνας τὺς φύλακας, ἐκέλευσεν ἀναχθῆναι. ἤτοι τὴν ἐπὶ θάνατον.

„ Τὸ δὲ ἐντελές. ἰδὼν δὲ πόῤῥωθεν ἀγομένυς τινὰς ἐπὶ θανάτῳ κατά τινα δαίμονα τῶν ἀγομένων ἀγαθόν. Αἰλ. Ποικ. Ἱςορ. ά. 30.

„ Ἐγὼ δὲ, εἰ καὶ μηδὲν ἄλλο, ὅτε ἐδύλευσα ὥσπερ σὺ, ἀντὶ τῦ, εἰ καὶ μηδὲν ἄλλο διαφέρωσυ. παρὰ Λυκιανῷ. ἔντισι δὲ ὑπακυςέον, τὸ ὐ μωρὸν ἐςὶν, ὐ σκαιόν; ὐκ ἄθλιον ἐςί; ὐ θαυμαςόν;

„ Τὸ δὲ μὴ κυνῆν οἴκοθεν ἐλθεῖν ἐμὲ τὸν κακοδαίμον' ἔχοντα. Ἀριςοφ. Νεφ. 267.

Ἐν οἷς κατὰ τὸν Σχολιαςήν. ὐ μωρὸν δηλ. ὐκ ἀνόητον; ἐλλειπὲς γὰρ εἴρηται.

Ὁ αὐτὸς παρὰ τῷ αὐτῷ ἐν Πλύτῳ.

Ἰςέον ὅτι ἡ ἀττικὴ ἔλλειψις, ἤτοι ἐν ἀρχῇ γίνεται, ὡς τὸ ὅπως μὴ ποιήσῃς τόδε, νουμένυ ἔξωθεν τῦ σκόπει, ἢ ἐν τῷ τέλει, ὡς ἔχει τὸ ἐν Νεφέλαις. τὸ δὲ μὴ κυνῆν οἴκοθεν ἐλθεῖν ἐμὲ τὸν κακοδαίμον, ἔχοντα, κἀκεῖ γὰρ νοεῖται ἔξωθεν τὸ ὐ σκαιόν.

„ Τῆς τύχης, τὸ ἐμὲ νῦν κληθέντα δεῦρο τυχεῖν. νοητέον, τὸ ὐκ ἄθλιον ἐςί;

„ Πόθεν γάρ; ἀντὶ τῦ πόθεν ταῦτα δυνατόν ἐςί. Λυκ. Τιμ.

Μάλιςα δὲ ἡνίκα πρόσεςι τοῖς λεγομένοις ἀπαξιωσίςτις, ἢ ἀγανάκτησις ἡ τοιαύτη γίνεται ἔλλειψις, ὡς φησὶν ὁ τῦ Ἀριςοφάνυς Σχολιαςής. ἐν τῷ 593. ςίχῳ ἐν τῷ πλύτῳ. „ τὸ γὰρ ἀντιλέγειν τολμᾷν ὑμᾶς.

„ Φησὶ γὰρ, ὅτι σχῆμα κεῖται καινὸν ἐλλειπτικὸν ἐνταῦθα τόδε. τὸ γὰρ λέγειν τολμᾷν ὑμᾶς,

ὡς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὡς ἐ πάντ' ἐςὶ τἀγαθὰ ὑμῖν διὰ τὴν πενίαν. λείπει γὰρ φανερῶς ἐνταῦθα ἔννοιά τις ἀκεραία τοιαύτη. τίς ἂν ἀκέων ἀνάσχοιτο; ἢ, πῶς ἐκ ἂν εἴη φορτικόν. ἢ πῶς ἐκ ἀντιλέγοιτο; ἢ τί τοιέτο, ἵνα λέγῃ ἡ πενία, ὅτι τὸ γὰρ τολμᾷν ὑμᾶς λέγειν, ὡς ἐ δι' ἐμὲ ὑμῖν τὰ ἀγαθὰ, πῶς ἂν εἴη φορτὸν ἀκέεσθαι. καὶ σημείωσαι τὸ τοιἔτον εἶδος τῆς ἐλλείψεως ἐνδεικτικὸν ὂν θυμικἔ ἤθες, καὶ ἐγκοπ]ομένης τῆς τελείας φράσεως διὰ τὸ πολὺ τῆς ὀργῆς.

„ Δότε αὐτοῖς ὑμεῖς φαγεῖν. οἱ δὲ εἶπον· ἐκ εἰσὶν ἡμῖν πλεῖον, ἢ πέντε ἄρτοι, καὶ δύο ἰχθύες. εἰμήτι πορευθέντες. πρὸ τἔ εἰμὴ τοιαύτη ἂν εἴη ἔλλειψις. ἐ δυνάμεθα τἔτο ποιῆσαι, ἢ ἐ δυνατὸν ἡμᾶς δἔναι αὐτοῖς φαγεῖν. Λεκᾶς θ'. 13.

Πρὸ τἔ εἰδὲ μὴ ὑπακεςέον τὸ εὖ ἔχει, ἢ καλῶς ἔχει. ἢ ἔασον, ἢ ἐάσατε.

„ Εἰ ἐγὼ ἱκανῶς διδάσκω ὑμᾶς οἵους χρὴ πρὸς ἀλλήλες εἶναι (εὖ ἔχει) εἰδὲ μὴ καὶ τὰ ἑξῆς. Ξενοφ. Κυροπ. ή.

„ Καὶ εἰ μὲν ἑκὼν πείθηται, (καλῶς ἔχει) εἰδὲ μή. Πλάτων ἐν Πρωταγόρᾳ.

„ Κᾂν μὲν ποιήσῃ καρπὸν, εὖ ἔχει, εἰδὲ μή. Λεκᾶς ιγ'.

. . . . Κᾂν μὲν ἀποφήνω, μόνην
Ἀγαθῶν ἁπάντων ἔσαν αἰτίαν ἐμὲ
Ὑμῖν, δι' ἐμέ τε ζῶντας ὑμᾶς. εἰδὲ μή.
Ποιεῖτον ἤδη τἔθ' ὅτι γ' ἂν ὑμῖν δοκεῖ. Ἀριςοφ. Πλ.

Ἐν οἷς παρασημειἔται ὁ Σχολιαςής.

Ἰςέον ὅτι ἡ ἀττικὴ ἔλλειψις γίνεται . . . ἐν τῇ

μέτρῳ,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ